Οἱ μὲν, πύθεσθε ταῦτα τῶν εὖ εἰδότων.
Some indeed learn these-things from-the(-ones) well knowing
Οἱ δ', ἐκδιηγήσασθε τοῖς οὐκ εἰδόσιν
Some and relate to-the(-ones) not knowing
(εἴπερ τινὲς τοσοῦτον ὑμῶν μακρόθεν,
if-indeed some so-far of-you from-afar
ἢ τῆς κρατούσης νῦν Ἰταλῶν ἐξουσίας)
or of-the ruling now of-Italians authority
ὡς ἂν λαληθῇ ταῦτα καὶ τοῖς ὕστερον,
that — may-be-told these-things also to-the(-ones) later
ὡς ἄλλο τῶν καινῶν τι τοῦ βίου κακῶν,
as other of-the new something of-the life evils
ὧνπερ μάταιος ὁλκὸς ἡμερῶν φέρει,
of-which vain trail of-days bears

πλεῖον τὸ χεῖρον ἐμπλέκων τῷ κρείσσονι.
more the worse weaving with-the better
Οὔπω λέγω τὸν ὀρθὸν ἐν πίστει λεὼν,
Not-yet I-speak-of the right in faith people
τὸν τῆς ἐμῆς ὠδῖνος εὐγενῆ τόκον·
the of-the my travail noble offspring
οὓς ἔστιν εἰπεῖν, οὐδενὸς πεφηνότος
whom it-is-possible to-say none having-appeared
τῶν συμφρονούντων, τῷ παρόντι προστρέχειν, 1140
of-the(-ones) like-minded with-the present to-run-to
ὡς τοὺς ἀνύδρους ταῖς φανείσαις ἰκμάσι,
as the waterless to-the appearing moistures
λιμοῦ βοηθὸν τὸν λόγον ποιουμένους,
of-famine help the word making
ἢ φωτὶ μικρῷ τοὺς ἄγαν σκοτουμένους.
or to-light small the(-ones) very darkened
Τί δ' ἄν τις εἴποι τῶν ξένων τῆς πίστεως,
What and — anyone might-say of-the strangers of-the faith
ὅπως ἔχαιρον τῷ λόγῳ, μεμνημένος; 1145
how they-rejoiced in-the word remembering
Πολλαὶ μέν εἰσιν αἱ παρέξοδοι λίαν
Many indeed are the by-ways very
τῆς ἀπλανοῦς τε καὶ τεταγμένης ὁδοῦ,
of-the unerring both and ordered road
πᾶσαι φέρουσαι πρὸς βυθοὺς ἀπωλείας,
all leading to depths of-destruction
εἰς ἃς διεῖλεν ὁ φθορεὺς τὴν εἰκόνα,
into which divided the corrupter the image
ὡς ἂν παρείσδυσίν τιν' ἐντεῦθεν λάβῃ, 1150
that — entrance some from-here he-might-get

γνώμας τεμὼν, οὐ γλώσσας, ὡς πάλαι Θεός.
judgments having-cut not tongues as long-ago God
Ἐντεῦθέν εἰσιν αἱ νόσοι τῶν δογμάτων·
From-here are the diseases of-the doctrines
οἱ θεῖον οὐδὲν εἰδότες ἢ φορὰν μόνην,
the(-ones) divine nothing knowing than motion only
ὑφ' ἧς γενέσθαι καὶ φέρεσθαι πᾶν τόδε·
by which to-come-about and to-be-borne all this
οἱ πλῆθος εἰσάγοντες, ἀνθ' ἑνὸς, θεῶν,
the(-ones) multitude bringing-in instead-of one of-gods
καὶ τοῖς ἑαυτῶν προσπεσόντες πλάσμασιν·
and to-the their-own falling-before fashionings
οἱ τὴν πρόνοιαν μὴ διδόντες τοῖς κάτω,
the(-ones) the providence not granting to-the(-things) below
καὶ πάντα συντιθέντες ἀστέρων πλοκαῖς·
and all-things composing of-stars by-plaitings
ὅσοι τε λαὸς ὄντες ἔκκριτος Θεοῦ
as-many-as both people being chosen of-God
τὸν Υἱὸν ἐσταύρωσαν εἰς τιμὴν Πατρός·
the Son crucified for honor of-the-Father
ὅσοι τε μικροῖς εὐσεβεῖς ἐντάλμασιν
as-many-as both small pious in-commandments
οἵ τ' ἀγγέλους, καὶ πνεύματα, καὶ ἀνάστασιν,
the(-ones) and angels and spirits and resurrection
οἵ τε προφητῶν γράμματ' ἐξαρνούμενοι·
the(-ones) and of-prophets writings denying
Χριστόν θ' ὅσοι σέβουσιν ἐν νόμου σκιαῖς·
Christ and as-many-as revere in of-law shadows

οἱ τὸν Βυθὸν Σιγήν τε προχρόνους φύσεις
the(-ones) the Abyss Silence and pre-temporal natures
τιμῶντες, Αἰῶνάς τε τοὺς θηλάρσενας,
honoring Aeons and the male-female
Σίμωνος υἱοὶ τοῦ μάγου· ὧν φύματα,
of-Simon sons the magus whose growths
οἱ συντιθέντες τὴν Θεότητ᾽ ἐκ γραμμάτων
the(-ones) composing the Godhead from letters
οἱ τὴν Παλαιὰν καὶ Νέαν δύω θεοῖς
the(-ones) the Old and New to-two gods
νείμαντες, αὐστηρῷ τε κἀγαθωτάτῳ·
having-assigned harsh both and-most-good
οἱ τρεῖς φύσεις τιθέντες οὐ κινουμένας,
the(-ones) three natures setting not moving
τὴν πνεύματος, χοός τε, τήν τ᾽ ἀμφοῖν μέσην·
the(-one) of-spirit of-dust both the(-one) and of-both middle
οἱ τῷ Μανοῦ χαίροντες ἀρχικῷ σκότῳ·
the(-ones) in-the of-Mani rejoicing original darkness
οἱ Μωντανοῦ τὸ πνεῦμα τιμῶντες κακῶς·
the(-ones) of-Montanus the spirit honoring evilly
οἱ Ναυάτου κενὴν ἔπαρσιν ὀφρύος·
the(-ones) of-Novatus empty elation of-eyebrow
οἱ τῆς ἀρεύστου Τριάδος συναιρέται,
the(-ones) of-the unflowing Trinity contractors
οἱ τῆς ἀτμήτου φύσεως διαιρέται·
the(-ones) of-the uncut nature dividers
αὖθις δὲ τούτων ὥσπερ ἐξ ὕδρας μιᾶς
again and of-these as from hydra one
πολλῶν φυέντων δυσσεβείας αὐχένων,
many having-grown of-impiety necks

ὁ τῇ κτίσει τὸ Πνεῦμα συντιθεὶς μόνον,
the(-one) with-the creation the Spirit composing only

ὁ καὶ τὸν Υἱὸν προστιθεὶς τῷ Πνεύματι·
the(-one) also the Son adding to-the Spirit

οἵ τ' εἰσάγοντες ἥλικα Καίσαρος Θεόν·
the(-ones) and bringing-in age-mate of-Caesar God

οἱ τὴν δόκησιν εἰσάγοντες ἐκτόπως·
the(-ones) the seeming bringing-in absurdly

οἱ δεύτερον λέγοντες Υἱὸν τὸν κάτω·
the(-ones) second saying Son the below

οἱ μὴ τέλειον τὸν σεσωσμένον, ἀλλ' ἄνουν.
the(-ones) not perfect the(-one) saved but mindless

1186–1370 · HIS MANNER OF TEACHING, AND THE EMPEROR'S COMING

He argued gently and taught that piety is not glib talk of God at theaters and banquets but care of the poor, strangers, and the sick, with psalms, tears, and fasting, and that speech of God needs its measure and season. His flock grew like a field at every stage, from cleared thorns to bread. Theodosius arrives from Macedonia, sound in the Trinity and, Gregory judges, wise to persuade rather than coerce, and tells him, God gives you the church through us. Sick and trembling with joy, Gregory is led through soldiers and a raging crowd under a clouded dawn, and as they reach the sanctuary the sun breaks out.

Αὗται γάρ εἰσιν, ὡς τύπῳ φράσαι, τομαὶ
These for are as in-outline to-tell cuttings

τῆς ὀρθότητος, ἐκτόπων τε μητέρες.
of-the rightness of-absurd-things and mothers

Τούτων τίς ἦν οὕτως ἀκίνητος τότε,
Of-these who was so unmoved then

ὡς μὴ τὸ οὖς γε τοῖς ἐμοῖς κλίνειν λόγοις;
as not the ear at-least to-the my to-incline words
Τοὺς μὲν γὰρ ᾖρει τὸ κράτος τῶν δογμάτων,
Some indeed for took the might of-the doctrines
οἱ δ' ἡμεροῦντο τῷ τρόπῳ τῆς λέξεως.
others and were-tamed by-the manner of-the speech
Οὐ γὰρ μετ' ἔχθρας οὐδὲ λοιδόρως πλέον
Not for with enmity nor abusively more
ἢ κηδεμονικῶς τοὺς λόγους προήγομεν,
than with-care the words we-brought-forward
ἀλγοῦντες, οὐ παίοντες, οὐδ' ἐπηρμένοι
grieving not striking nor elated
καιρῷ ῥέοντι καὶ πλάνῳ, καθώς τινες.
for-season flowing and wandering as some
Τίς γὰρ λόγῳ τε καὶ κράτει κοινωνία;
What for for-word both and for-might fellowship
Οὐδὲ πρόβλημα τὸ θράσος ποιούμενοι
Nor shield the daring making
τῆς ἀλογίας· δεινῶς γὰρ ἔντεχνον τόδε
of-the senselessness dreadfully for artful this
καὶ σηπιῶδες, τὸ μέλαν ἐκ βάθους ἐμεῖν,
and cuttlefish-like the black from depth to-vomit
ὡς τοὺς ἐλέγχους ἐκδιδράσκειν τῷ ζόφῳ.
so-as the refutations to-run-away-from by-the gloom

Ἀλλ᾽ ἠμέρως τε τοῖς λόγοις καὶ προσφόρως
But gently both with-the words and fittingly
ἐντυγχάνοντες, ὡς λόγου συνήγοροι
meeting as of-the-word advocates
τοῦ συμπαθοῦς τε καὶ πράου, καὶ μηδένα
of-the sympathetic both and mild and no-one
πλήσσοντος· ἐξ οὗ καὶ τὸ νικᾶσθαι λόγος,
striking from which also the to-be-conquered account
καὶ τὸ κρατεῖν δὲ τιμιώτερον πολὺ,
and the to-prevail and more-precious by-much
πειθοῖ βιαίᾳ τῷ Θεῷ προσκτώμενον.
by-persuasion forceful — for-God gaining
Τοιαῦτα πλαξὶ ταῖς ἐμαῖς ἐνεγράφη.
Such-things on-tablets the my were-inscribed
Ἄλλος τις οὗτος τῆς ἐμῆς παιδεύσεως
Another some this of-the my training
νόμος, σοφῶς τε καὶ καλῶς γεγραμμένος.
law wisely both and beautifully written
Μὴ μίαν ὁδὸν τῆς εὐσεβείας εἰδέναι,
Not one road of-the piety to-know
τὴν εὔκολόν τε καὶ κακὴν γλωσσαλγίαν.
the easy both and evil itch-of-tongue
Μηδ᾽ ἐν θεάτροις, καὶ φόροις, καὶ συμπόταις
Nor in theaters and markets and drinking-parties
ὁμοῦ γελῶντας, ᾄσμασι χαυνουμένους,
together laughing with-songs being-slackened
πρὶν καὶ πλυθῆναι γλῶσσαν ἐξ αἰσχρῶν λόγων,
before even to-be-washed tongue from shameful words

μηδ᾽ ἐν βεβήλοις ὠσὶ καὶ Χριστοῦ ξένοις
nor into profane ears and of-Christ strangers
ῥίπτειν ἀφειδῶς τῶν λόγων τοὺς μυστικοὺς,
to-throw unsparingly of-the words the mystical
παίζοντας ἐν τοῖς καὶ πόνῳ θηρωμένοις·
playing in the(-things) even with-toil hunted
ἀλλ᾽ ἐντολαῖς μὲν ὡς μάλιστα εὐσεβεῖν
but by-commandments indeed as most to-be-pious
πτωχοτροφοῦντα, ξενοδοχοῦντα, ταῖς νόσοις
feeding-the-poor receiving-strangers for-the sicknesses
ἀρκοῦντα, καρτεροῦντα καὶ ψαλμῳδίαις,
relieving enduring and with-psalmodies
εὐχαῖς, στεναγμοῖς, δάκρυσι, χαμευνίαις,
prayers groans tears sleepings-on-the-ground
γαστρὸς πιεσμοῖς, ἀγχόναις αἰσθήσεων,
of-belly by-pressings by-throttlings of-senses
θυμοῦ, γέλωτος, χειλέων εὐταξίᾳ,
of-wrath of-laughter of-lips by-good-order
τὴν σάρκα κοιμίζοντα πνεύματος κράτει.
the flesh putting-to-sleep of-spirit by-might
Πολλαὶ γάρ εἰσιν αἱ σωτηρίας ὁδοὶ,
Many for are the of-salvation roads
πᾶσαι φέρουσαι πρὸς Θεοῦ κοινωνίαν·
all leading to of-God communion
ἃς χρή σ᾽ ὁδεύειν, οὐ μόνην τὴν ἐν λόγῳ.
which it-is-right you to-travel not only the(-road) in word
Λόγος γὰρ ἀρκεῖ καὶ ψιλῆς τῆς πίστεως,
Word for suffices also of-bare the faith
μεθ᾽ ἧς ἀτεχνῶς τὸ πλέον σώζει Θεός.
with which simply the more saves God

Εἰ δ' εἰς σοφοὺς ἔπιπτεν ἡ πίστις μόνον,
If but on wise fell the faith only
Θεοῦ παρ' ἡμῖν οὐδὲν ἦν πενέστερον.
than-God with us nothing would-be poorer
Ἀλλ' εἰ φιλόγλωσσός τις, ἢ ζήλου πλέως,
But if lover-of-talk anyone or of-zeal full
καὶ δεινὸν εἴ σοι μὴ ῥυήσεται λόγος
and terrible if for-you not shall-flow word
(ἀνθρώπινον γὰρ εὔχομαι κἀνταῦθά σοι),
human-thing for I-pray even-here for-you
λάλει μὲν, ἐν φόβῳ δὲ, μηδὲ πάντοτε,
speak indeed in fear but nor always
μὴ πάντα, μηδ' ἐν πᾶσι, μηδὲ πανταχοῦ.
not all-things nor among all nor everywhere
Ἀλλ' ἔστιν οἷς, ὅσον τε, καὶ ποῦ, καὶ πότε.
But there-is to-whom as-much-as both and where and when
Καιρὸς δὲ παντὸς, ὡς ἀκούεις, πράγματος·
Season and of-every as you-hear thing
μέτρον τ' ἄριστον, τῶν σοφῶν ἑνὸς λόγος.
measure and best of-the wise of-one word
Χωρὶς τὰ Μυσῶν καὶ Φρυγῶν ὁρίσματα
Apart the of-Mysians and of-Phrygians bounds
χωρὶς τὰ τῶν ἔξωθεν, οἵ τ' ἐμοὶ λόγοι.
apart the(-words) of-the(-ones) outside and the my words
Τῶν μὲν γάρ εἰσιν εἰς ἐπίδειξιν οἱ λόγοι
Of-the indeed for are for display the words
ἐν μειρακίσκων συλλόγοις, καὶ πλάσμασιν.
in of-lads gatherings and fictions
Ἐν οἷς μέγ' οὐδὲν ἀτυχεῖν ἢ τυγχάνειν.
In which great nothing to-fail or to-succeed

Σκιᾶς, σκιᾶς γὰρ οὐδὲν ἀσθενέστερον.
Of-shadow than-shadow for nothing weaker
Ἡμῖν δ' (ἀληθεύειν γάρ ἐστιν ὁ σκοπὸς)
For-us but to-tell-truth for is the aim
οὕτως ἔχειν, ἢ μὴ, περιδεὲς τὸν λόγον.
so to-hold or not very-anxious the word
Ὁδὸς γὰρ ἀμφίκρημνος, ἧς ἔξω πεσεῖν
Road for with-precipices-on-both-sides from-which outside to-fall
πεσεῖν προδήλως ἐστὶν εἰς ᾅδου πύλας.
to-fall manifestly is to of-Hades gates
Ὅθεν μάλιστα τοὺς λόγους φυλακτέον,
Whence most the words to-be-guarded
τὰ μὲν λέγοντας, τῶν δ' ἀκούοντας σοφῶς·
some indeed saying others but hearing wisely
ἔστι δ' ὅτ' ἐκχωροῦντας ἀμφοῖν ἐξίσης,
there-is and when withdrawing from-both equally
στάθμῃ δικαίᾳ, τῷ φόβῳ, κεχρημένους.
by-plumb-line just the fear using
Ἧττον γὰρ οὖς, ἢ γλῶσσα, κίνδυνον φέρει·
Less for ear than tongue danger bears
ἧττον δ' ἀκοῆς, τὸ καὶ φυγεῖν ἐκ τοῦ μέσου.
less and than-hearing the even to-flee out-of the midst
Τί δεῖ σε νάρκης ἁψάμενον νεκροῦν φρένα;
Why must you of-torpedo-fish having-touched to-deaden mind
Ἢ πλησιάζειν ἄσθματι λυσσῶντος κυνός;
Or to-approach to-breath of-raving dog
Οὕτω μαθόντες ἐκ γραφικῶν θεσπισμάτων,
So having-learned from scriptural oracles
οἷς ἐτράφημεν πρὶν συναχθῆναι φρένα·
on-which we-were-reared before to-be-gathered mind

οὕτως ἄγοντες καὶ πολίτας καὶ ξένους,
so leading both citizens and strangers
ἤδη γεωργῶν ἦμεν ἐν τοῖς πλουσίοις,
already of-farmers we-were among the rich
εἰ καὶ συνακτὸν οὐχ ὁμοῦ τοὐμὸν θέρος.
if even to-be-gathered not at-once the-my summer
Τοὺς μὲν γὰρ ἄρτι τῶν ἀκανθῶν ἠρέμουν·
Some indeed for just from-the thorns rested
οἱ δ' ὡμαλίζονθ', οἷς δ' ἐβάλλετο σπόρος,
others and were-leveled for-others and was-cast seed
οἱ δ' ἐν γάλακτι, τῶν δ' ὑπὲρ γῆς ἡ φυή,
others and in milk of-others and above earth the growth
οἱ δ' ἐχλόαζον, οἱ δ' ἐδεσμοῦντο στάχυς,
others and grew-green others and were-bound ears
οἱ δ' ἠδρύνοντο, οἱ δὲ λευκοὶ πρὸς θέρος·
others and were-ripening others and white for harvest
ἄλως τιν' εἶχε, τοὺς δὲ θημών τις φίλος·
threshing-floor some had others and heap some dear
οἱ δ' ἐκκρίνοντο, οἱ δὲ τῶν σίτων ἔσω,
others and were-winnowed others and of-the grain within
οἱ δ' ἦσαν ἄρτος, τῆς γεωργίας πέρας,
others and were bread of-the farming end
ἄρτος γεωργὸν τὸν καμόντα μὴ τρέφων
bread farmer the(-one) having-toiled not feeding
νῦν, τοὺς δὲ μηδὲν ἐκχέαντας ἰκμάδος.
now the(-ones) and nothing having-shed of-moisture
Ἐβουλόμην ἐνταῦθα στῆσαι τὸν λόγον,
I-wished here to-stop the word
καὶ μηδὲν εἰπεῖν τῶν ἀναξίων λόγου.
and nothing to-say of-the(-things) unworthy of-word

Νῦν δ' οὐκ ἐᾷ με τὰ πρόσω τῶν πραγμάτων·
Now but not lets me the onward of-the affairs
ὧν τὰ μὲν ἦλθε δεξιῶς, τὰ δ' ἀγνοῶ
of-which some indeed came auspiciously others but I-know-not
τί χρὴ λέγειν μοι, καὶ τίνι μοίρᾳ προσνέμειν,
what is-it-right to-say for-me and to-what lot to-assign
τίνας δ' ἐπαινεῖν. Τοῦτον ἐχόντων τρόπον
whom and to-praise This having manner
ἡμῶν, ἐφίστατ' ἀθρόως αὐτοκράτωρ
upon-us stood all-at-once emperor
ἐκ τῆς Μακεδνῆς, βαρβάρων στήσας νέφος,
from the Macedonian of-barbarians having-stopped cloud
πλήθει τε πολλῷ καὶ θράσει τεθηγμένων,
with-multitude both much and with-daring whetted
ἄνθρωπος οὐ κακὸς μὲν, εἰς πίστιν Θεοῦ
man not evil indeed toward faith of-God
ὅσον κρατῆσαι τὰς ἁπλουστέρας φύσεις,
so-far-as to-master the simpler natures
καὶ τῆς Τριάδος ὑπερφυῶς ἡττώμενος·
and by-the Trinity exceedingly defeated
(σπλάγχνων γὰρ οὗτός ἐστι καὶ πάντων λόγος,
of-bowels for this is and of-all word
στερρᾶς ἐφ' ἕδρας ἀσφαλῶς βεβηκότων·)
firm on seat safely having-stood
οὐ μὴν τοσοῦτος τῇ ζέσει τοῦ πνεύματος,
not however so-great in-the boiling of-the spirit
ὡς ἀντισῶσαι τοῖς παρελθοῦσι τὰ νῦν,
as to-balance with-the past the present-things
καιρῷ τὰ καιροῦ πταίσματ' ἐξιώμενος·
by-season the of-season failings healing

ἢ τὴν ζέσιν μὲν ἴσος, οὐκ ἴσος δέ γε,
or the boiling indeed equal not equal but indeed
τί φῶ; τὸ θάρσος, ἢ θράσος; διδάξατε.
what shall-I-call the courage or rashness teach
Ἴσως δ' ἄμεινον τὸ προμήθειαν καλεῖν.
Perhaps but better the foresight to-call
Οὐ γὰρ κατείργειν, ἀλλὰ πείθειν, ἔννομον
Not for to-coerce but to-persuade lawful
εἶναι νομίζω, καὶ πρὸς ἡμῶν τι πλέον,
to-be I-think and for us something more
αὐτῶν τ' ἐκείνων, οὓς Θεῷ προσάξομεν.
of-themselves and those whom to-God we-shall-bring
Τὸ μὲν γὰρ ἀκούσιον, κρατούμενον βίᾳ,
The indeed for involuntary mastered by-force
ὥσπερ βέλος νευρᾷ τε καὶ χερσὶ δεθὲν,
as arrow by-bowstring both and by-hands bound
ἢ ῥεῦμ' ἐν ὀλκῷ πάντοθεν στενούμενον,
or stream in channel from-all-sides narrowed
καιροῦ δοθέντος, τὴν βίαν περιφρονεῖ.
season given the force despises
Τὸ δ' ἑκούσιον, βέβαιον εἰς πάντα χρόνον,
The but voluntary firm for all time
δεσμοῖς ἀλύτοις τῶν πόθων ἐσφιγμένον.
by-bonds unloosable of-the longings bound-tight
Ταῦτ' ἐννοῶν, ἔμοι γε τὸν φόβον δοκεῖ
These-things considering to-me at-least the fear seems
τέως κατασχὼν, πάντας ἕλκειν ἡμέρως,
meanwhile having-restrained all to-draw gently
προθεὶς τὸ βούλεσθ', ἔγγραφον πειθοῦς νόμον.
having-set-before the to-will written of-persuasion law

Ὡς δ' οὖν ἐπέστη ἄσμενος τρισασμένοις,
As and then he-arrived gladly to-thrice-glad
ἃ μὲν τετιμήκει με, τῇ πρώτῃ θέᾳ,
what indeed he-honored me at-the first sight
οἷς τ' εἶπεν, οἷς τ' ἤκουσεν εὐμενέστατα,
by-what both he-said by-what both he-heard most-kindly
τί χρὴ λέγειν με; καὶ γὰρ αἰσχύνης γέμον
why is-it-needful to-tell me and for of-shame full
εἰ τηλίκος φρονεῖν δοκοίην τηλίκοις,
if so-great to-think I-should-seem of-so-great
ὦ τίμιον τοῦτ' ἔστι καὶ μόνον, Θεός.
O precious this is and only God
Τὸ δ' οὖν πέρας· «Δίδωσι, φησὶ, τὸν νεὼν
The but then end Gives he-says the temple
Θεὸς δι' ἡμῶν σοί τε καὶ τοῖς σοῖς πόνοις·»
God through us to-you both and to-the your toils
φωνὴν ἄπιστον πρὶν προελθεῖν εἰς τέλος.
voice incredible before to-come-forth to end
Οὕτως γὰρ ἦσαν ἡ πόλις κατακράτος
So for they-were the city with-might
ἑστῶτες, ἡ πολλή τε καὶ δεινὴ ζέσις,
standing the great both and dread boiling
ὡς μηδ', ἂν εἴ τι τῶν ἀηδῶν συμπέσοι,
as not-even — if anything of-the unpleasant should-befall
εἴξοντες, ἀλλ' ἔξοντες ὧνπερ ἐκράτουν·
going-to-yield but going-to-hold what they-mastered
εἰ δὲ καὶ αὖ βιάζοιντ', ἀλλὰ τὸν τραχὺν χόλον
if and even again they-should-be-forced but the rough wrath
ἡμῖν ἐπαφήσοντες, ὧν ῥᾷστον κρατεῖν.
on-us going-to-let-loose whom most-easy to-master

Ὁ μὲν τόδ' εἶπεν· ἐμὲ δὲ συμμιγὴς τρόμῳ
He indeed this said me but mingled with-trembling
παλμός τις εἶχεν ἡδονῆς. Ὦ Χριστέ μου,
throb some held of-pleasure O Christ my
ὃς οἷς πέπονθας εἰς τὸ πάσχειν ἐκκαλῇ,
who by-what you-suffered to the to-suffer call-out
σὺ καὶ τότ' ἦσθα τῶν ἐμῶν πόνων βραβεύς,
you also then were of-the my toils umpire
καὶ νῦν γενοῦ μοι τῶν κακῶν παρήγορος.
and now become for-me of-the evils consoler
Παρῆν ὁ καιρός. Τὸν νεὼν δ' εἶχε στρατὸς
Was-at-hand the season The temple and held army
ξιφηφόρος, μελάθροις ἐκτεταγμένος.
sword-bearing in-halls drawn-up
Ὁ δ' ἀντεπήει δῆμος οἰδαίνων ἅπας,
The but advanced-against people swelling whole
ψάμμος θαλασσῶν, ἢ νιφὰς, ἢ κυμάτων
sand of-seas or snowfall or of-waves
κινήματ', ὀργῇ καὶ λιταῖς μεμιγμένος,
movements with-anger and with-entreaties mingled
ὀργῇ καθ' ἡμᾶς, πρὸς δὲ τὸ κράτος λιταῖς.
with-anger against us toward and the might with-entreaties
Πλήρεις ὁδοὶ, δρόμοι, πλατεῖαι, πᾶς τόπος·
Full roads tracks squares every place
διώροφα, τριώροφα νευόντων κάτω
two-storied three-storied of-the-leaning down
ἀνδρῶν, γυναικῶν, νηπίων, παλαιτάτων·
of-men of-women of-infants of-the-most-aged
πόνοι, στεναγμοὶ, δάκρυα, βρυχήματα,
toils groans tears roarings

εἰκὼν ἁλόντος ἄστεος κατακράτος.
image of-captured city by-force

Ἐγὼ δ' ὁ γεννάδας τε καὶ στρατηλάτης,
I but the noble both and general

καὶ ταῦτ' ἐν ἀῤῥωστοῦντι καὶ λελυμένῳ,
and these-things in sick and loosened

μικρὰ πνέοντι τῷδέ μου τῷ σαρκίῳ,
little breathing this my the little-flesh

μέσος στρατηγοῦ καὶ στρατοῦ, βλέπων ἄνω,
mid of-general and of-army looking up

ἤειν βοηθῷ χρώμενος τῇ ἐλπίδι,
I-went as-helper using the hope

ἕως κατέστην εἰς νεὼν, οὐκ οἶδ' ὅπως.
until I-was-set in temple not I-know how

Κἀκεῖνο δ' εἰπεῖν ἄξιον· πολλοῖς τε γὰρ
And-that and to-say worthy to-many both for

ἔδοξεν εἶναι τῶν τότε κρεῖσσον λόγου,
it-seemed to-be of-the(-things) then greater than-word

οἷς οὐδὲν ἁπλοῦν ἐστι τῶν ὁρωμένων,
to-whom nothing simple is of-the(-things) seen

ἐν ταῖς μεγίσταις τὸ πλέον καιρῶν ῥοπαῖς.
in the greatest the more of-seasons turns

Ἐγὼ δ' ἀπιστῶν τοῖς λέγουσιν οὐκ ἔχω,
I but disbelieving the(-ones) saying not I-have

καί τοι προσάντης τοῖς ξένοις, εἴπερ τις, ὤν.
and yet opposed to-the strange-things if-indeed anyone being

Τοῦ γὰρ προχείρως πάντα πιστεύειν θέλειν,
Than-the for readily all-things to-believe to-wish

χεῖρον, τὸ πᾶσιν ἀντιτείνειν ἐξίσης.
worse the to-all to-resist equally

Τὸ μὲν γάρ ἐστι κουφότης, τὸ δὲ θράσος.
The indeed for is lightness the but rashness
Τί γοῦν τὸ θαῦμα; Βίβλε, κηρύσσοις βίῳ,
What at-any-rate the wonder Book may-you-proclaim to-life
τοῦ μὴ λαθεῖν τοὺς ὕστερον τόσην χάριν.
for-the not to-escape the(-ones) later so-great grace
Ἦν ὄρθρος, ἡ δ' ἐπεῖχε νὺξ ὅλην πόλιν,
It-was dawn the but held night whole city
νέφους ὑποδραμόντος ἡλίου κύκλον,
cloud having-run-under of-the-sun circle
ἥκιστα καιρῷ πρᾶγμα τῷ τότε πρέπον.
least to-season thing the then befitting
Φιλαίθριον γὰρ οὐδὲν, ὡς πανήγυρις.
Fond-of-clear-sky for nothing as festival
Ὃ καὶ παρεῖχε τοῖς μὲν ἐχθροῖς ἡδονὴν,
Which also provided to-the indeed enemies pleasure
ὡς δυσφοροῦντος τοῦ Θεοῦ τοῖς δρωμένοις,
as being-displeased — God at-the(-things) done
ἡμῖν δ' ἀνίαν ἐν φρεσὶ κεκρυμμένην.
to-us and grief in minds hidden
Ἐπεὶ δ' ἐγώ τε καὶ τὸ πορφύρας κράτος
Since and I both and the of-purple might
κιγκλίδος ἦμεν τῆς σεβασμίας ἔσω,
of-the-lattice we-were the august within
πάντων τ' ἐπήρθη συμμιγὴς αἶνος Θεοῦ
all and was-raised mingled praise of-God
καλουμένου, βοή τε καὶ χειρῶν τάσις,
called cry both and of-hands stretching
τοσοῦτον ἐξέλαμψεν ἡλίου σέλας,
so-much shone-out of-sun gleam

νέφους ῥαγέντος τῷ Θεοῦ προστάγματι,
cloud having-broken by-the of-God command
ὡς πάντα μὲν τὸν οἶκον ἀστραπηφόρον
as whole indeed the house lightning-bearing
εὐθὺς γενέσθαι, τὸν πρὶν ἐστυγνασμένον,
immediately to-become the(-house) before gloomy
καὶ τῆς παλαιᾶς εἰκόνα σκηνῆς λαβεῖν
and of-the ancient image tabernacle to-take
ἅπαντας, ἣν ἔκρυπτε λαμπρότης Θεοῦ,
all which hid brightness of-God
εἶδος δὲ πᾶσιν αἰθριάσαι καὶ φρένας.
appearance and to-all to-clear and minds

1371–1559 · THE CHURCH TAKEN, AND THE COUNCIL GATHERED

The crowd shouts for him to be enthroned at once; too weak to speak, he has an assessor quiet them, since now is a time for thanksgiving, and the emperor leaves pleased. Choosing healing over force, he keeps from the court and its eunuchs and wins dignity by being rarely seen. A pale young man, named by a bystander as his would-be murderer, falls weeping at his sickbed and is forgiven. Gregory will not audit the church's treasure, and fills it with the poor, monks, virgins, and prayer. Then the bishops of the East gather under Meletius of Antioch and enthrone him; he hopes to reconcile the two sides, but the bishops rage at one another for love of rule.

Κἀνταῦθα θάρσους ἐνδραμόντος τῇ θέᾳ,
And-here courage having-run-in to-the sight
ἡμᾶς βοᾶσθαι πανσθενεὶ ζητουμένους,
us to-be-shouted-for with-all-strength sought
ὡς τοῖς παροῦσι τοῦδε λείποντος μόνου,
as to-the(-ones) present this lacking only

πρῶτόν τε καὶ μέγιστον ἐκ πρώτου κράτους
first both and greatest from first might
τοῦτ᾽ ἂν γενέσθαι πρὸ θρόνων πόλει γέρας,
this — would-be before thrones for-city prize
ἡμᾶς δοθῆναι τοῖς θρόνοις τοῦ ἄστεος
us to-be-given to-the thrones of-the city
ταῦτ᾽ ἦν ἀπ᾽ ἀνδρῶν ἐν τέλει, καὶ τῶν κάτω,
these-things were from men in office and of-the(-ones) below
πάντων ἀπ᾽ ἴσου τοῦ λόγου ποθουμένων.
all from equal the word longing
Ταῦτ᾽ ἐκ γυναικῶν ὑψόθεν βοώμενα,
These-things from women from-above shouted
πέρα σχεδόν τι τοῦ γυναιξὶ κοσμίου.
beyond nearly somewhat of-the for-women seemly
Βροντή τις ἦν ἄπιστος ἀντικλωμένη,
Thunder some was incredible echoing-back
ἕως ἐγώ τιν᾽ ἐξαναστήσας θρόνων
until I someone having-raised from-thrones
σύνεδρον· οὐκ ἐμοὶ γὰρ ἦν φωνῆς τόνος,
assessor not to-me for was of-voice strength
συνωσμένῳ τε καὶ δέει κεκμηκότι·
crushed both and by-dread worn-out
γλώσσης τάδ᾽ εἶπον ῥήματ᾽ ἐξ ἀλλοτρίας·
of-tongue these I-said words from another's
«᾽Επίσχεθ᾽, οὗτοι, τὴν βοὴν ἐπίσχετε.
Hold-back you the cry hold-back
Καιρὸς γάρ ἐστι πάντως εὐχαριστίας
Season for is by-all-means of-thanksgiving
ὁ νῦν· ὁ δ᾽ εἰσέπειτα καὶ τῶν μειζόνων.»
the(-season) now the but hereafter also of-the greater-things

Λαὸς δ’ ἐπερῥόθησεν οἷς ἐφθεγξάμην.
People and roared-applause at-what I-uttered
Πᾶσι γάρ ἐστι προσφιλὲς τὸ μέτριον.
To-all for is dear the moderate
Αὐτὸς δ’ ἀπῆλθεν αἰνέσας αὐτοκράτωρ.
Himself and went-away having-praised emperor
Οὕτω μὲν οὗτος σύλλογος καταστρέφει,
So indeed this gathering ends
τοσοῦτον ἡμᾶς ἐκφοβήσας καὶ μόνον,
so-much us having-frightened and alone
ὅσον γυμνωθὲν ἓν ξίφος, πάλιν ἔσω
as-much-as bared one sword again within
πεσεῖν, θράσος τε συντεμεῖν θερμοῦ λεώ.
to-fall daring and to-cut-short of-warm people
Τὰ δ’ ἔνθεν οὐκ οἶδ’ ὡς προσάξω τὸν λόγον,
The(-things) and thence not I-know how I-shall-bring the word
ἔχοντα καί τιν’ ὄγκον ἐν τοῖς πράγμασι.
having also some bulk in the affairs
Τίς συγγραφεύς μοι τῷ λόγῳ δοίη πέρας;
What historian to-me to-the word might-give end
Αἰσχύνομαι γὰρ ταῖς ἐμαῖς εὐφημίαις,
I-am-ashamed for at-the my praises
κἂν ἄλλος εὖ λέγῃ με. Τοῦτ’ ἐμὸς νόμος.
even-if another well speak of-me This my law
Ὅμως δὲ λέξω μετριάζων ὡς σθένος.
Nevertheless but I-will-tell moderating as strength
Ἦν ἔνδον· ἡ πόλις δὲ τὸ φρύαγμα μὲν
Was within the city but the snorting indeed
κάτω βεβλήκει, τοῦ ναοῦ κρατουμένου·
down had-cast the temple being-mastered

ὅμως δ' ὑπεστέναζεν, ὡς γίγας, φασὶ,
nevertheless but groaned-under as giant they-say
βληθεὶς κεραυνῷ πρόσθεν Αἰτναίῳ πάγῳ,
struck by-thunderbolt formerly by-Aetnaean crag
καπνόν τε καὶ πῦρ ἐκ βάθους ἠρεύγετο·
smoke both and fire from depth belched
τί γοῦν με ποιεῖν, πρὸς Θεοῦ, δίκαιον ἦν;
what at-any-rate me to-do by God just was-it
Διδάξαθ' ἡμᾶς, εἴπαθ', οἱ νῦν ἐντελεῖς,
Teach us tell the(-ones) now in-office
ὦ μειρακίσκων σύλλογος τῶν ἀθλίων,
O of-lads gathering of-the wretched
οἷς τὸ πρᾶον μὲν ἀδρανὲς λογίζεται,
by-whom the gentle indeed feeble is-reckoned
τὸ δ' ἐμμανές τε καὶ κάκιστον, ἀνδρικόν·
the but frenzied both and worst manly
ὠθεῖν ἐλαύνειν, ἀγριοῦν, ἀναφλέγειν,
to-thrust to-drive to-make-savage to-inflame
καιρῷ τ' ἀπλήστως χρωμένους καὶ τῷ κράτει;
season both insatiably using and the might
Ἢ φαρμακεύειν φαρμάκοις σωτηρίας;
Or to-treat with-drugs of-salvation
Δύω γὰρ οὕτω καλὰ κερδαίνειν παρῆν,
Two for thus beautiful-things to-gain were-at-hand
αὐτούς τε ποιεῖν μετρίους τῷ μετρίῳ,
themselves both to-make moderate by-the moderate
ἡμᾶς τε δόξαν καὶ τὸ φίλτρον λαμβάνειν.
us both glory and the love to-receive

Τοῦτ' ἦν δίκαιον, τοῦτο καὶ φανήσομαι
This was just this also I-shall-appear
ἀεί τε ποιῶν, καὶ τόθ', ὡς μάλιστ' ἐνῆν.
always both doing and then as most it-was-possible
Πρῶτον μὲν, ὡς δείξαιμι μὴ καιροῦ φορᾷ
First indeed that I-might-show not of-season by-the-rush
νέμων τὸ πλεῖον, ἢ κράτει τῷ τοῦ Θεοῦ,
assigning the more than to-might the — of-God
τί νουθετοῦμαι τῷ καλῷ παραινέτῃ,
why am-I-admonished by-the good adviser
ἔχων λόγον σύμβουλον ἀσφαλέστατον;
having word counselor most-safe
Πάντων σεβόντων τὴν ὀφρὺν τῶν ἐν τέλει,
All revering the eyebrow of-the(-ones) in office
τούτων μάλιστα τοὺς ἔσω παραστάτας,
of-these most the within attendants
οἳ πάντ' ἄνανδροι τἄλλα, πλὴν εἰς χρήματα.
who in-all-things unmanly the-rest except for money
Τί δ' ἄν τις εἴποι, πῶς τε καὶ τέχναις ὅσαις,
What and — anyone might-say how both and with-arts how-many
αὐτοῖς πυλῶσι βασιλικοῖς προσκειμένων,
to-the-very gates imperial pressing
κατηγορούντων, λαμβανόντων ἐκτόπως,
accusing receiving absurdly
τῆς εὐσεβείας ἐμφορουμένων κακῶς,
of-the piety glutting-themselves evilly
ἀσχημονούντων, ὥς γε συντόμως φράσαι·
behaving-shamefully as at-least briefly to-tell
μόνος ποθεῖσθαι μᾶλλον, ἢ μισεῖσθ' ἔγνων,
alone to-be-longed-for rather than to-be-hated I-resolved

καὶ τῷ σπανίῳ τὸ σεμνὸν ἠμπολησάμην,
and by-the rarity the dignity I-bought
Θεῷ ταπολλὰ καὶ καθάρσει προσνέμων,
to-God the-most and to-purification assigning
τῶν δὲ κρατούντων τὰς θύρας ἄλλοις διδούς.
of-the but rulers the doors to-others giving
Ἔπειτα τοὺς μὲν ἠπορημένους βλέπων
Then the(-ones) indeed perplexed seeing
ἐφ' οἷς συνήδεσάν σφισιν ἠδικηκότες,
for what they-were-conscious themselves having-done-wrong
τοὺς δ' εὖ παθεῖν χρῄζοντας, ὡς εἰκὸς, πάλιν,
the(-others) and well to-be-treated needing as likely again
τοῖς μέν τ' ἀφῆκα τὸν φόβον, τοὺς δ' ὠφέλουν,
to-the(-ones) indeed and I-let-go the fear the(-others) and I-benefited
ἄλλοις κατ' ἄλλην χρείαν, ὡς ἦν μοι σθένος.
to-others according-to other need as was to-me strength
Ἓν δ' ἐξ ἁπάντων δείγματος λέξω χάριν.
One and of all of-example I-will-tell for-the-sake
Ἔνδον ποθ' ἡσύχαζον ἐξ ἀῤῥωστίας·
Within once I-was-resting from sickness
ἤρκτο γὰρ, ἤρκτο συνδραμοῦσα τοῖς πόνοις.
it-had-begun for it-had-begun having-run-together with-the toils
Ταῦτ' ἐτρυφῶμεν, ὡς δοκεῖ τοῖς βασκάνοις.
These-things we-reveled as seems to-the envious
Οὕτως ἔχοντος, ἀθρόως δήμου τινὲς
So being all-at-once of-the-people some
ἐπεισίασι, σὺν δὲ τοῖς νεανίας,
come-in with and the(-ones) young-man
ὠχρὸς, κομήτης, πενθικῶς ἐσταλμένος.
pale long-haired mournfully dressed

Ἐμοῦ δ' ἐπιστρέψαντος ἐκ κλίνης πόδας
Me and having-turned from bed feet
οὕτω τι μικρὸν, οἷα τὰ πτοουμένων,
so something little such-as the(-things) of-the-frightened
οἳ μὲν Θεῷ τε καὶ βασιλεῖ, ἃς ἦν φίλον,
they indeed to-God both and to-emperor which was dear
φωνὰς ἀφέντες εὐχαρίστους ἀφθόνως,
voices having-let-go thankful ungrudgingly
ὡς τὴν παροῦσαν ἡμέραν δεδωκόσιν,
as the present day having-given
ἡμᾶς τ' ἐπαινέσαντες ἔστιν οἷς λόγοις,
us and having-praised there-are with-which words
ἀπῆλθον. Ὃς δὲ τοῖς ἐμοῖς ἄφνω ποσὶ
went-away He but at-the my suddenly feet
προσφὺς, ἱκέτης, ἄφωνος, ἔκπληκτός τις ἦν.
clinging suppliant voiceless astounded some was
Ἐμοῦ δὲ, τίς τε καὶ πόθεν, χρῄζεις δ' ὅτου
Me and who both and whence you-need and what
λέγοντος, οὐδέν τι πλέον ἢ μείζους βοαί.
saying nothing at-all more than greater cries
Ὤμωξεν, ἐστέναξεν, ἡ σφίγξις χεροῖν
He-wailed he-groaned the gripping of-hands
πλείων. Ὑπεισῄει τι κἀμοὶ δάκρυον.
more Crept-in somewhat also-to-me tear
Βίᾳ δ' ἀποσπασθέντος (οὐ γὰρ ἦν λόγῳ),
By-force and dragged-away not for it-was by-word
τῶν τις παρόντων· «Οὗτος,» εἶπεν, «ὁ σφαγεὺς
of-the(-ones) some present This-one said the slayer
σοῦ, τοῦτο φῶς βλέποντος ἐκ Θεοῦ σκέπης,
of-you this light seeing by of-God shelter

ἑκὼν πάρεστι, δήμιος συνειδότος,
willing is-present executioner of-conscience
φονεὺς εὐγνώμων, εὐγενὴς κατήγορος,
murderer grateful noble accuser
τὸ δάκρυον δίδωσι τιμὴν αἵματος.»
the tear gives price of-blood
Ταῦτ' εἶπεν· ἐκλάσθην δὲ τοῖς λόγοις ἐγὼ,
These-things he-said I-was-broken and by-the words I
φωνὴν δ' ἀφῆκα τοῦ κακοῦ λυτήριον·
voice and I-let-go of-the evil releasing
«Θεός σε σώζοι· τὸν σεσωσμένον δ' ἐμὲ
God you may-save the having-been-saved but me
χρηστὸν φανῆναι τῷ σφαγεῖ γ' οὐδὲν μέγα.
good to-appear to-the slayer at-least nothing great
Ἐμὸν πεποίηκέ σε τὸ θράσος. Σκόπει
Mine has-made you the daring Consider
ὅπως ἐμοί τε καὶ Θεῷ γένῃ πρέπων.»
how to-me both and to-God you-may-become befitting
Ταῦτ' εἶπον· ἡ πόλις δὲ (οὐ γὰρ λανθάνει
These-things I-said the city and not for escapes-notice
τι κρεῖττον οὐδὲν) εὐθὺς ἐκμαλάσσεται,
anything better at-all immediately is-softened
ὥσπερ σίδηρος ἐμπύροις κινήμασι.
as iron by-fiery movements
Τὸ δ' ἐκ τοσούτων χρημάτων θρυλλουμένων,
The but from so-great money talked-of
ὧν οἱ μέγιστοι τῶν ὅλης οἰκουμένης
which the greatest of-the of-the-whole world
ναῶν ἐθησαύριζον ἐκ παντὸς χρόνου,
temples were-hoarding from all time

κειμηλίων τε καὶ πόρων τῶν πάντοθεν,
of-treasures both and of-revenues the(-ones) from-all-sides
οὐδ' ὁντινοῦν λογισμὸν ἐν τοῖς γράμμασιν
not-even any account in the writings
εὑρόντα τῶν πρὶν προστατῶν Ἐκκλησίας,
having-found of-the former presidents of-the-Church
οὔτ' ἐν ταμίαις τοῖς, ἐν οἷς τὰ πράγματα,
neither in stewards the(-ones) in whom the affairs
στέρξαι, ξένον τε μηδόλως λαβεῖν τινα,
to-acquiesce stranger and at-all to-take any
ὥς μοι παρῄνουν καὶ παρώξυνόν τινες,
as to-me advised and urged some
τούτων λογιστὴν ὕβριν εἰς μυστηρίου·
of-these auditor insult to of-mystery
πόσον δοκεῖ σοι; ὧν γὰρ ἔσχε τις μόνων
how-great seems to-you of-what for had anyone only
οὐχ ὧν λαβεῖν δίκαιον, ἔσθ' ὑπεύθυνος.
not of-what to-take just is accountable
Ταῦθ' ὅστις ἥττων χρημάτων, καὶ μέμφεται·
These-things whoever weaker than-money even blames
ὅστις δὲ κρείσσων, καὶ λίαν προσδέξεται.
whoever but stronger even very will-accept
Πᾶσι γὰρ οὔσης τῆς ἀπληστίας κακῆς,
For-all for being the insatiability evil
ἄπληστον εἶναι χεῖρον ἐν τοῖς πνεύματος.
insatiable to-be worse in the(-things) of-the-spirit
Εἰ πάντες οὕτως ἐφρόνουν εἰς χρήματα,
If all so thought toward money

οὐκ ἄν ποτ᾽ οὐδὲν τοῖον ἐν ἐκκλησίαις
not — ever anything such in churches
πλήρωμ᾽ ἀνευρεῖν (οὐ φρενὸς γὰρ τῆς ἐμῆς)·
fullness to-find not of-mind for the my
λέγω δ᾽ ὅσον λειτουργὸν, ἐγγίζον Θεῷ.
I-mean and as-much-as minister drawing-near to-God
Καὶ τοῦτο δ᾽ ἦν θρύλλημα τῶν ἐναντίων,
And this and was rumor of-the opponents
μηδ᾽ ἂν πυλῶσι τὸν λεὼν ἐξαρκέσαι,
nor — for-gates the people to-suffice
τὸν πρὶν μερισθέντθ᾽, ἡνίκ᾽ ἦμεν ἐνδεεῖς.
the(-people) before divided when we-were lacking
Τοσοῦτον ἦμεν πᾶσιν ηὐτελισμένοι,
So-far we-were by-all made-cheap
ὧν νῦν νεώ τε καὶ νεῶν πληρώματα.
of-which now temple both and of-temples fillings
Ταῦθ᾽ ἡμῖν ἐσπουδάζεθ᾽, ὡς ἂν μὴ λέγω
These-things by-us were-zealously-done that — not I-tell
πτωχῶν, μοναστῶν, παρθένων τῶν ἐν νέοις,
of-poor of-monks of-virgins of-the(-ones) among young
ξένων, παροίκων, δεσμίων ἐπιστάτας,
of-strangers of-sojourners of-prisoners overseers
ψαλμῳδιῶν τε, δακρύων τε παννύχων,
of-psalmodies both of-tears both all-night
ἀνδρῶν, γυναικῶν σεμνότητ᾽ ἀσκουμένων,
of-men of-women dignity practicing
ἄλλα σὺν οἷς ἀγάλλετ᾽ εὐτάκτοις Θεός.
others with which rejoices well-ordered God
Ἀλλ᾽ οὐ γὰρ ἡσύχαζεν ὁ φθορεὺς φθόνος,
But not for kept-quiet the corrupter envy

ᾧ πάνθ' ἁλίσκετ', ἢ φανῶς, ἢ λαθρίως·
by-which all-things are-caught either openly or secretly
ἀρχὴν κακῶν μοι τὸ κρατεῖν ἐπεισάγει.
beginning of-evils for-me the to-prevail brings-in
Ὅσον γὰρ ἦν ἑῷον, Αἰγύπτου δίχα,
As-much-as for was eastern of-Egypt apart
λαῶν πρόεδρον, ἄχρι Ῥώμης δευτέρας,
of-peoples presidents up-to Rome second
γῆς καὶ θαλάττης ἐκ μυχῶν ἐσωτάτων,
of-land and of-sea from recesses innermost
κινηθὲν, οὐκ οἶδ' οἷς τισι Θεοῦ λόγοις,
moved not I-know by-what some of-God reasons
συνέρχεθ', ὡς πήξοντες εὐσεβῆ λόγον.
gathers as going-to-fix pious word
Ὧν ἦν ἀνὴρ πρόεδρος εὐσεβέστατος,
Of-whom was man president most-pious
ἁπλοῦς, ἄτεχνος τὸν τρόπον, Θεοῦ γέμων,
simple artless the manner of-God full
βλέπων γαλήνην, θάρσος αἰδοῖ σύγκρατον
looking calm courage with-reverence mixed
βάλλων ὁρῶσι, Πνεύματος γεώργιον.
casting to-those-seeing of-Spirit farm
Τίς ἠγνόησε τοῦτον, ὃν δηλοῖ λόγος,
Who knew-not this-one whom shows word
τῆς Ἀντιοχέων προστάτην Ἐκκλησίας,
of-the of-Antiochenes president Church
τὸν ὄνθ' ὅπερ κέκλητο, καὶ καλούμενον
the(-one) being what he-had-been-called and being-called
ὃ ἦν; Μέλιτος γὰρ καὶ τρόπος καὶ τοὔνομα.
what was Of-honey for both manner and the-name

Ὃς πόλλ᾽ ἀνέτλη Πνεύματος θείου χάριν
Who much endured of-Spirit divine for-the-sake
(εἰ καὶ ξένῃ τι μικρὸν ἐκλάπη χερὶ),
if even by-strange something little was-stolen hand
ἀγῶσι λαμπροῖς τὴν χάριν ἀποξέων.
by-contests splendid the grace scraping-off
Οὗτοί μ᾽ ἐνιδρύουσι τοῖς σεμνοῖς θρόνοις
These me install on-the august thrones
βοῶντα καὶ στένοντα, πλὴν δι᾽ ἓν μόνον
crying and groaning except because-of one only
οὐ σφόδρ᾽ ἄκοντα. Τοῦτο μαρτύρει, Λόγε.
not very unwilling This testify Word
Τί τοῦτο; τἀληθὲς γὰρ οὐ κρύπτειν θέμις.
What this the-truth for not to-hide right
Ὤμην ματαίοις καρδίας φαντάσμασι
I-thought by-vain of-heart fantasies
(τὸ γὰρ θέλειν πρόχειρον εἰς τὴν ἐλπίδα,
the for to-will ready toward the hope
καὶ πάντα ῥᾷστα τῇ ζέσει τοῦ πνεύματος,
and all-things most-easy by-the boiling of-the spirit
κἀγώ τις ἄλλως εἰς τὰ τοιαῦθ᾽ ὑψίνους)·
and-I someone otherwise toward the such-things high-minded
εἰ τὸ κράτος λάβοιμι τοῦδε τοῦ θρόνου
if the might I-should-take of-this the throne
(πολλὴν ῥοπὴν γὰρ καὶ τὸ φαίνεσθ᾽ εἰσφέρει),
much weight for also the to-appear brings-in
ὥσπερ χορευτὴς ἐν μέσῳ δυοῖν χοροῖν,
as dancer in midst two choruses
ἄμφω πρὸς αὐτὸν συντιθεὶς τοὺς πλησίον,
both to himself composing the neighbors

τῇ μὲν τὸν ἔνθεν, τῇ δὲ τὸν, χοροῦ νόμῳ,
with-the(-one) indeed the(-one) from-here with-the(-other) but the(-one) of-chorus by-law

εἰς ἓν συνάξειν τοὺς διεστῶτας κακῶς,
into one going-to-gather the(-ones) standing-apart evilly

πῶς δ' οὐ κάκιστα, καὶ δακρύων πλουσίων
how and not most-evilly and of-tears abundant

θρήνων τε πολλῶν καὶ σπαραγμῶν ἀξίως,
of-laments and many and of-tearings worthily

οἷόν τις οὔπω τῶν πάλαι, ἢ τῶν νέων,
such-as anyone not-yet of-the(-ones) of-old or of-the new

ἐπ' οὐδενός ποτ' ἀνιαρῶν ἐστήσατο,
on any ever of-painful-things set-up

πολλῶν κακῶν πολλοῖς τε συμπεπτωκότων,
many evils to-many and having-befallen

οὐδ' ἣν ἅπαντες ᾄδουσ' Ἰσραὴλ σποράν,
not-even which all sing Israel seed

ὃν Χριστοφόντης ἐξελίκμησεν φθόνος.
which Christ-slaying winnowed envy

Οἱ γὰρ πρόεδροι καὶ λαοῦ διδάσκαλοι,
The for presidents and of-the-people teachers

οἱ Πνεύματος δοτῆρες, ὧν σωτήριος
the of-Spirit givers of-whom saving

θρόνων ἀπ' ἄκρων ἐξερεύγεται λόγος,
of-thrones from high belches word

οἱ πᾶσι κηρύσσοντες εἰρήνην ἀεὶ,
the(-ones) to-all proclaiming peace always

φωναῖς πλατείαις ἐν μέσαις ἐκκλησίαις,
with-voices broad in mid churches

τοσοῦτον ἐμμάνησαν ἀλλήλοις πικρῶς,
so-much raged at-one-another bitterly

ὥστ᾽ ἐκβοῶντες, συλλέγοντες συμμάχους,
so-that shouting-out gathering allies
κατηγοροῦντες καὶ κατηγορούμενοι,
accusing and accused
πηδῶντες, ἐκδημοῦντες ἐν πηδήμασι,
leaping going-abroad in leaps
διαρπάζοντες οὓς τύχοι τις προφθάσας,
snatching whom might-happen anyone having-anticipated
λύσσῃ φιλαρχίας τε καὶ μοναρχίας,
by-madness of-love-of-rule both and of-monarchy
(πῶς ἐκβοήσω ταῦτα καὶ τίσι λόγοις;)
how shall-I-cry-out these-things and with-what words
ἔῤῥηξαν ἤδη τὴν ὅλην οἰκουμένην,
they-broke already the whole world
ὃ πρόσθεν εἶπον, ἡνίκ᾽ ἠρχόμην λόγου.
what before I-said when I-was-beginning the-word

East and West quarrel over thrones more than doctrine, as office-seekers fan the flame. When Meletius, the bishop of Antioch, dies, the factious move to raise a rival to Paulinus, who now holds Antioch alone. Gregory counsels peace: let Paulinus keep the throne until age releases him, then let people and bishops choose together, lest a world sealed with Christ's blood be shaken over two angels; for himself he asks a life without a throne. The young bishops caw like jackdaws that all must begin in the East, where Christ shone forth, and the elders follow. He sees the Nicene spring muddied by time-servers in a council of many masters, and sickness keeps him home, longing to depart.

Λῆξις δ' ἑῴα καὶ δύσις λόγου πλέον
Lot and eastern and western of-the-word more
τομὴ νομίζετ', ἢ τόπων καὶ κλιμάτων.
cutting is-thought than of-places and of-zones
Τὰ μὲν γὰρ ἥνωτ', οὐκ ἄκροις, ἀλλ' οὖν μέσοις·
The(-ones) indeed for are-united not at-the-ends but then in-the-middles
οἱ δ' οὐδέν ἐστιν, ᾧ δέοντ' ἐῤῥωγότες,
the(-others) and nothing is in-which they-need having-broken
οὐκ εὐσέβειαν (τοῦτ' ἀνευρίσκει χόλος,
not piety this finds wrath
ψεύστης ἕτοιμος), τὴν δ' ὑπὲρ θρόνων ἔριν.
liar ready the but over thrones strife
Τί τοῦτο φάσκω τοὺς σκοπούς; οὐ τοὺς σκοποὺς
Why this do-I-say the aims not the overseers
τοσοῦτον (ἄμφω καὶ γὰρ οἶδα μετρίως),
so-much both and for I-know moderately
ὅσον περ ἀμφοῖν τοὺς κακοὺς σπουδαρχίδας
as-much-as indeed of-both the evil office-seekers
αὔρας φυσώσας τὴν ἀνημμένην φλόγα,
breezes blowing the kindled flame

τὰ σφῶν τιθέντας εὖ καλῶς ἐν τοῖς φίλοις,
the(-things) of-their-own setting well beautifully among the friends
εἴπερ καλῶς τοῦτ' ἔστιν, οὐ λίαν κακῶς.
if-indeed beautifully this is not very evilly
Τούτων τι κἀγὼ τῶν κακῶν ἀπωνάμην.
Of-these something I-too of-the evils enjoyed
Ἐπεὶ γὰρ, ὃν μὲν ἀρτίως ἐπῄνεσα
Since for whom indeed lately I-praised
τῆς Ἀντιοχέων προστάτην Ἐκκλησίας,
of-the of-Antiochenes president Church
πλήρης μετρητῶν τῶν τ' ἀμετρήτων ἐτῶν,
full of-measured of-the and unmeasured years
πόλλ', ὡς ἀκούω, συμβατικὰ παραινέσας,
many-things as I-hear conciliatory having-advised
ἃ πρόσθεν ἐξηκούετ' ἐκλαλῶν φίλοις,
which before was-heard uttering to-friends
ἔνθεν μετῆλθε πρὸς χορὸν τῶν ἀγγέλων,
from-here departed to chorus of-the angels
πομπῇ τε θείᾳ καὶ χύσει τοῦ ἄστεως
with-procession both divine and with-outpouring of-the city
τόθ' ὡς μάλιστα δηχθέντος, ὥσπερ λόγος,
then as most bitten as word
πρὸς τὴν ἑαυτοῦ στέλλεται παροικίαν,
to the his-own is-sent sojourning
καλόν τι θησαύρισμα τοῖς ἐγνωκόσι·
beautiful some treasure to-the(-ones) having-known
βουλὴ δὲ προὔκειθ' ἡμῖν οὐ βουλευτέα,
counsel and was-proposed to-us not to-be-counseled
ἣν οἱ στασιώδεις καὶ κακοὶ συνεκρότουν,
which the seditious and evil beat-together

σπουδὴν ἔχοντες ἀνταναστῆσαί τινα
zeal having to-raise-up-against some

πρόεδρον ἄλλον τῷ τέως μονοθρόνῳ.
president another to-the meanwhile sole-throned

Πολλοὶ δ' ἐκινήθησαν ἐξ ἀμφοῖν λόγοι
Many and were-moved from both words

εἰρηνικοί τε καὶ φέροντες εἰς κακόν·
peaceable both and bearing to evil

τότ' εἶπον αὐτὸς οὕσπερ ᾠόμην λόγους
then I-said myself which I-thought words

εἶναί τ' ἀρίστους, καὶ κακῶν λυτηρίους·
to-be and best and of-evils releasing

«Οὔ μοι δοκεῖτε ταυτὰ γινώσκειν, φίλοι,
Not to-me you-seem the-same to-know friends

ἅπαντες, οὔθ', ὧν νῦν χάριν βουλευτέον,
all nor of-which now for-the-sake to-be-counseled

ταῦθ' ἡμῖν ἥκειν ἀξιώσοντες λόγου,
these-things to-us to-come going-to-deem-worthy of-word

πλείστῳ δὲ μέτρῳ τοῦ δέοντος ἐκπεσεῖν.
by-most and measure of-the needful to-fall-out

Ὑμῖν μὲν ἔστιν ἄστεως ἑνὸς λόγος,
For-you indeed is of-city one account

καὶ τοῦθ' ὅπως μάχοιτο νυνὶ καὶ πλέον·
and this how might-fight now even more

ὁ γὰρ σκοπὸς τοῦτ' ἔστιν, ὃν σπουδάζετε,
the for aim this is which you-are-zealous-for

χειρός τε δεῖσθε τῆς ἐμῆς συλλήπτορος·
of-hand and you-need the my helping

ἐμοὶ δὲ μειζόνων τε καὶ πληρεστάτων.
for-me but of-greater both and fullest

Ὁρᾶτε τοῦτον τὸν μέγαν τῆς γῆς κύκλον,
See this the great of-the earth circle
ὃς ἐσφράγισται αἵματος τοῦ τιμίου
which has-been-sealed of-blood the precious
ῥοαῖς, Θεοῦ παθόντος ἀνθρώπου τύπον,
by-streams of-God having-suffered of-man in-form
τιμὴν δ' ἑαυτὸν ῥύσιον δεδωκότος,
ransom and himself as-redemption having-given
ἄλλοις τε πολλοῖς θύμασι καὶ δευτέροις·
with-other and many sacrifices and second
οὗτος δονεῖται δυσὶ θῶμεν ἀγγέλοις·
this is-shaken by-two let-us-suppose angels
ἀλλ' οὐδ' ἐκεῖνοι (φθέγξομ' ἀλγοῦντος λόγον)
but not-even those I-will-utter of-one-grieving word
τιμῆς τοσαύτης ἄξιοι. Τοὐναντίον
of-honor so-great worthy The-contrary
ὅσῳ πέρ εἰσιν ἄγγελοι, τόσῳ πλέον
by-as-much-as indeed they-are angels by-so-much more
οὐκ ἄξιοι μάχης τε καὶ τῶν χειρόνων·
not worthy of-battle both and of-the worse-things
εἴπερ τὸ κρεῖσσον ἄξιον καὶ κρεισσόνων.
if-indeed the better worthy also of-better-things
Ἕως μὲν οὖν ἦν ἐν μέσῳ θεῖος σκοπὸς,
While indeed then was in midst divine overseer
οὐδ' ἦν σαφές πω, πῶς ποθ' οἱ τῆς ἑσπέρας
nor was-it clear yet how ever the(-ones) of-the west
τὸν ἄνδρα δέξοντ', ἠγριωμένοι τέως,
the man would-receive made-savage meanwhile

συγγνωστὸν ἦν πως καὶ τὸ λυπεῖν μετρίως
pardonable was somehow even the to-grieve moderately
τοὺς, ὡς λέγουσι, τῶν νόμων ἀμύντορας. 1615
the(-ones) as they-say of-the laws defenders
Ἀνήρ τε γὰρ πρᾷός τις ὀργῆς φάρμακον·
Man both for gentle some of-wrath remedy
τό τ' ἀγνοεῖν μέγιστον εἰς παῤῥησίαν.
the and to-be-ignorant greatest for boldness
«Νῦν δ' (οὐ γάρ ἐστιν οὐδὲ εἷς σάλος, Θεοῦ
Now but not for is even one tossing God
δόντος γαλήνην τοῖς ἑαυτοῦ πράγμασι)
having-given calm to-the his-own affairs
τί φημι χρῆναι; καὶ δέξασθ' ἐμοῦ λόγον, 1620
what I-say to-be-needful and receive my word
λόγον προμηθῆ, τῶν νέων σοφώτερον.
word prudent than-the young wiser
Οἱ γὰρ γέροντες τὸ ζέον γ' οὐ πείσομεν·
The for old the boiling at-least not we-shall-persuade
κενῆς γάρ ἐστιν ἧττον εὐκλείας ἀεί.
than-empty for is less glory always
Θρόνος κρατείσθω τῷ κρατοῦντί νιν τέως.
Throne let-be-held by-the(-one) holding it meanwhile
Τί δεινὸν, ἄν τι καὶ μικρὸν πλείω χρόνον 1625
What terrible — something even small more time
τὸν ἄνδρα πενθήσωμεν, ὡς πάλαι νόμος;
the man let-us-mourn as of-old law

Ἔπειτα δώσει τὴν λύσιν τοῦ πράγματος
Then will-give the release of-the matter
τὸ γῆρας, ἡ κοινή τε παντὸς τοῦ γένους
the old-age the common both of-all the race
ἀναγκαία τε καὶ καλὴ προθεσμία.
necessary both and beautiful appointed-term
Ὁ μὲν θανὼν οἰχήσεθ' οἷ ποθεῖ πάλαι,
He indeed having-died will-depart whither he-longs long-ago
δώσων Θεῷ τὸ πνεῦμα τῷ δεδωκότι.
going-to-give to-God the spirit to-the(-one) having-given
Ἡμεῖς δὲ τηνικαῦτα ἐκ συμψυχίας
We but then from unanimity
λαοῦ τε παντὸς καὶ σοφῶν ἐπισκόπων,
of-people both whole and of-wise bishops
θρόνῳ τιν' ἄλλον δώσομεν σὺν Πνεύματι.
to-throne some other shall-give with Spirit
«Ὧδ' ἂν γένοιτο τῶν κακῶν λύσις μία.
So — might-come-about of-the evils release one
Ἢ γὰρ, τὸ μεῖζον, προσλαβεῖν καὶ τὸ ξένον
Either for the greater to-take-besides and the strange
(ξένον γάρ ἐστιν, ὡς ὁρῶ, νῦν ἡ δύσις),
strange for is as I-see now the west
ἢ δεύτερος πλοῦς, συμφρονῆσαι τὴν πόλιν,
or second voyage to-be-of-one-mind the city
λαὸν τοσοῦτον καὶ χρόνῳ κεκμηκότα.
people so-great and by-time worn-out
Στήτω ποτ' ὀψὲ, κοσμικὸς στήτω σάλος.
Let-stop at-length late worldly let-stop tossing
Οἶκτον λάβωμεν τῶν τε νῦν ἐσχισμένων,
Pity let-us-take of-the both now split

τῶν τ᾽ ἐγγὺς ὄντων τοῦ πάθους, τῶν θ᾽ ὕστερον.
of-the and near being of-the suffering of-the and later
Μή τις θελήσῃ, ποῖ προβήσεται, μαθεῖν,
Lest anyone wish whither it-will-proceed to-learn
εἰ ταῦτα νικήσειεν ἐν μακρῷ χρόνῳ.
if these-things should-prevail in long time
Ἐπὶ ξυροῦ βέβηκεν, ἢ σώζεσθ᾽ ἔτι
On razor it-has-stood either to-be-saved still
τὸ σεμνὸν ἡμῶν δόγμα καὶ σεβάσμιον,
the august our doctrine and revered
ἢ μηκέτ᾽ εἶναι τῇ στάσει διαῤῥύεν.
or no-longer to-be by-the sedition having-flowed-apart
Ὥσπερ γὰρ ἡ τῶν χρωμάτων μοχθηρία
As for the of-the colors wickedness
τοῦ ζωγράφου νομίζετ᾽, οὐκ ὀρθῷ λόγῳ,
of-the painter is-thought not by-right reason
ἢ τῶν μαθητῶν ὁ τρόπος, διδασκάλων·
or of-the disciples the manner of-teachers
οὕτως ὁ μύστης ὢν κακὸς, πόσῳ πλέον
so the initiate being evil by-how-much more
ὁ μυσταγωγὸς ὕβρις εἰς μυστήριον;
the mystagogue insult to mystery
Μικρόν τι νικηθῶμεν, ὥστε προλαβεῖν
A-little something let-us-be-conquered so-as to-gain-beforehand
νίκην τε μείζω, καὶ τὸ σωθῆναι Θεῷ,
victory both greater and the to-be-saved for-God
κόσμον τε σῶσαι τὸν κακῶς ὀλωλότα.
world both to-save the(-world) evilly having-perished
Οὔτοι τὸ νικᾶν δόξαν ἐν πᾶσι φέρει.
Not-indeed the to-conquer glory in all-things brings

Καλῶς στέρεσθαι κρεῖσσον, ἢ κακῶς ἔχειν.
Beautifully to-be-deprived better than evilly to-have
Ταῦτ' οἶδεν ἡ Τριάς τε, καὶ τὸ σὺν λίθοις
These-things knows the Trinity both and the with stones
κήρυγμα λαμπρὸν τῆς ἐμῆς παῤῥησίας,
preaching bright of-the my boldness
ὃ καί μ' ἔθηκε τοῖς κακοῖς ἐπίφθονον.
which also me set for-the evil envied
«Εἴρηθ' ἁπλῶς τε καὶ δικαίως σήμερον,
Has-been-said simply both and justly today
ἅπερ συνοίσειν οἶδα τοῖς σκοπουμένοις.
what to-be-profitable I-know to-the(-ones) considering
Εἰ δ' οἴεταί τις τῶν κακῶν ἢ πρὸς χάριν
If but thinks anyone of-the evil or for favor
λέγειν τάδ' ἡμᾶς, αὐτὸς ἠγορασμένος
to-say these-things us himself bought
(εἰσὶ γὰρ, εἰσὶν ἔμποροι τῶν ἐγκρίτων
there-are for there-are traders of-the eminent
χρυσοῦ γέμοντες, καὶ προθυμίας ἴσης),
of-gold full and of-eagerness equal
ἤ τι σκοπεῖν οἰκεῖον, ὡς πολλοῖς νόμος,
or something to-consider own as for-many law
αὐτὸς τεχνάζων λανθάνειν ἐν τοῖς κακοῖς,
himself contriving to-escape-notice in the evils
ἢ τὸ κρατεῖν ἐντεῦθεν αὐτῷ μνώμενος,
or the to-prevail from-here for-himself wooing
δότω τὸ κρίνειν τῷ τελευταίῳ πυρί.
let-give the to-judge to-the last fire
Ἡμῖν δὲ συγχωρήσατ' ἄθρονον βίον,
To-us but grant throneless life

τὸν ἀκλεῆ μὲν, ἀλλ᾽ ὅμως ἀκίνδυνον.
the inglorious indeed but nevertheless undangerous
Καθήσομ᾽ ἐλθὼν, οἳ κακῶν ἐρημία.
I-will-sit having-come where of-evils desert
Κρεῖσσον γὰρ ἢ τοῖς πλησίον μεμιγμένον,
Better for than with-the neighbors mingled
μήτ᾽ ἄλλον ἕλκειν πρὸς τὸ βούλημ᾽ ἰσχύειν, 1675
neither another to-draw to the will to-be-able
μήτ᾽ αὐτὸν ἄλλοις συμφέρεσθ᾽, οὗ μὴ λόγος.
nor oneself with-others to-be-carried where not reason
Δεῦρ᾽, ὅστις οἶδε τὸν θρόνον, προσβαινέτω·
Hither whoever knows the throne let-approach
πολλοὺς ἀμείψει δ᾽ ἀξίους τε καὶ κακούς.
many will-change and worthy both and evil
Πρὸς ταῦτα βουλεύεσθε. Εἴρηται λόγος.»
To these-things take-counsel Has-been-said word
Ταῦτ᾽ εἶπον· οἱ δ᾽ ἔκρωζον ἄλλος ἄλλοθεν, 1680
These-things I-said they but cawed another from-another-side
δῆμος κολοιῶν εἰς ἓν ἐσκευασμένος,
people of-jackdaws into one equipped
τύρβη νέων τις, καινὸν ἐργαστήριον,
tumult of-young-men some new workshop
λαίλαψ κόνιν σύρουσα, πνευμάτων στάσις,
whirlwind dust sweeping of-winds quarrel
οἷς οὐδ᾽ ἂν ἠξίωσε τῶν τις ἐντελῶν
to-whom not-even — would-have-deemed-worthy of-the(-ones) any in-office
φόβῳ τε θείῳ καὶ θρόνῳ δοῦναι λόγον 1685
by-fear both divine and by-throne to-give account

ἄτακτα παφλάζουσιν, ἢ σφηκῶν δίκην
disorderly they-bubble or of-wasps like
ἄττουσιν εὐθὺ τῶν προσώπων ἀθρόως·
they-dart straight-at the faces all-at-once
τοῖς δ' ἠκολούθουν ἡ σεμνὴ γερουσία·
to-these and followed the august senate
τοσαῦτ' ἀπεῖχον σωφρονίζειν τοὺς νέους.
so-far they-were-from to-chasten the young
Καὶ τὸν λογισμὸν, ὡς ἐπαινετὸς, σκόπει.
And the reasoning how praiseworthy consider
Δεῖν γὰρ συνάλλεσθ' ἡλίῳ τὰ πράγματα,
To-be-needful for to-leap-with with-the-sun the affairs
ἐντεῦθεν ἀρχὴν λαμβάνονθ', ὅθεν Θεὸς
from-there beginning taking whence God
ἔλαμψεν ἡμῖν σαρκικῷ προβλήματι.
shone to-us with-fleshly shield
Τί γοῦν; Μάθωμεν μὴ σέβειν περιτροπὰς,
What then Let-us-learn not to-revere revolutions
Χριστοῦ δὲ σάρκα παντὸς ἡμῶν τοῦ γένους
O books formerly were-a-care which Spirit engraved
εὐαγέων γλώσσῃσι, καὶ ἔνδοθι γράμματος ἐσθλοῦ
of-the-holy with-tongues and within of-letter good
Πνεύματος ἀστράπτουσα χάρις, καὶ κρυπτὸν ὄνειαρ
of-Spirit flashing grace and hidden boon
οἵοισιν καθαροῖσι φαεινόμενον μερόπεσσιν·
to-alone pure appearing mortals

εὐχαί τε στοναχαί τε φίλαι, καὶ νύκτες ἄϋπνοι,
prayers both groans both dear and nights sleepless
ἀγγελικοί τε χοροὶ, ψαλμοῖς Θεὸν οἵ γ’ ἐρέθουσιν,
angelic both choruses with-psalms God who indeed stir
ἱστάμενοι, ψυχάς τε Θεῷ πέμποντες ἐν ὕμνοις,
standing souls both to-God sending in hymns
πολλῶν ἐκ στομάτων ξυνὴν ὄπα γηρύοντες·
of-many from mouths common voice uttering
γαστρός τ’ ἀρχεκάκοιο μόγος, καὶ μέτρα γέλωτος,
of-belly and source-of-evil toil and measures of-laughter
γλώσσης τ’ ἀτρεμίη τε καὶ ὄμματος, ἠδὲ χόλοιο
of-tongue and steadiness both and of-eye and of-wrath
μαινομένοιο χαλινά. Λόγος δ’ ἔσφιγγεν ἀλήτην
raging bridles Word and bound wanderer
πάντοσε παπταίνοντα, νόον γ’ ἐπὶ δ’ ἔστρεφε Χριστῷ
everywhere peering mind indeed upon and turned to-Christ
ἐλπίσιν οὐρανίῃσι. Λόγος δ’ ἐπὶ πᾶσιν ἔκειτο
with-hopes heavenly Word and over all lay
εἰκόν’ ἄγων πρὸς Ἄνακτα. Θεὸς δ’ ἐπιτέρπετ’ ἐρωῇ.
image leading to Lord God and delighted in-the-rush
Ἀντὶ δέ μοι κτεάνων τε καὶ ἀργαλέων ὀρυμαγδῶν,
Instead-of and to-me of-possessions both and of-grievous din
οἵ με καὶ ἐννυχίοισι κακοῖς ἐρέθουσιν ὀνείροις
which me also with-nocturnal evil stir dreams
(φροντίσιν ἠματίαις γὰρ ὁμοΐα φάσματα νυκτὸς),
to-cares of-day for like phantoms of-night
ἦεν ἐν ὀφθαλμοῖσι Θεοῦ σέλας, εὐσεβέων τε
was in eyes of-God gleam of-pious both
ψυχῶν παμφανόωσα χοροστασίη τε κλέος τε.
of-souls all-shining dance both glory both

Νῦν δὲ δὴ ἐξαπόλωλε κειμήλια πάντ᾽ ἀπ᾽ ἐμοῖο
Now but indeed has-perished treasures all from my
ψυχῆς, ᾗ τοπάροιθεν ὁμίλεε πᾶσιν ἀρίστοις,
soul which formerly consorted with-all best
οἷος δ᾽ ἐντὸς ἔμεινε πόθος, καὶ ἄλγος ἄελπτον.
alone and within remained longing and pain unexpected
Τοὔνεκεν αἰάζω. Τὸ δ᾽ ἐσαύριον οὐ σάφα οἶδα,
Therefore I-wail The and tomorrow not clearly I-know
εἴ με Θεὸς παλίνορσον ἐς ἤθεα τὰ πρὶν ἀνάξει
if me God back to haunts the former will-lead
λύσας ἐξ ἀχέων, ἀπὸ δ᾽ ἄχθεα πάντα τινάξας,
having-loosed from griefs from and burdens all having-shaken
ἠὲ πάρος μεσάτοισιν ἐν ἄλγεσιν ἔνθεν ἐλάσσει,
or before in-middle in pains thence will-drive
πρίν κ᾽ αἴθρην ἰδέειν, πρίν χ᾽ ἕλκεσι φάρμακα θεῖναι,
before — clear-sky to-see before — for-wounds remedies to-set
δύσμορον ἱμείροντα φάους πυμάτην μετὰ νύκτα,
ill-fated longing of-light last after night
τῆμος ὀδυρομένοισιν ἐτώσια τίς κεν ἀμῦναι.
then for-the-lamenting vain-things who — could-ward-off
Ἔνθα δ᾽ ἄκος μερόπεσσι, τὰ δ᾽ ὕστατα δέσμια πάντα.
There and remedy for-mortals the(-things) but last bound all
Ἤδη μοι πολιόν τε κάρη, καὶ ἅψεα ῥικνὰ
Already to-me gray both head and limbs shriveled
ἐκλίνθη βιότοιο πρὸς ἕσπερον ἀλγινόεντος.
have-declined of-life toward evening painful
Ἀλλ᾽ οὔπω τοιόνδε τοσόνδε τε ἄλγος ἀνέτλην·
But not-yet such so-great both pain I-endured

οὐδ’ ὅτε μαινομένοισι κορυσσόμενον ἀνέμοισι
nor when with-raging armed winds
γαίης ἐκ Φαρίης ἐπ’ Ἀχαιΐδα, πόντον ἔτετμον
of-land from Pharian to Achaean sea I-reached
ἀντολίῃ Ταύροιο, τὸν ἐῤῥίγασι μάλιστα
at-rising of-Taurus which shudder-at most
ναῦται, χειμερίου, παῦροι δέ τε πείσματ’ ἔλυσαν.
sailors of-wintry few and indeed cables loosed
Ἔνθα δ’ ἐγὼ νύκτας τε καὶ ἤματα εἴκοσι πάντα
There and I nights both and days twenty all
νηὸς ἐνὶ πρύμνῃ κείμην, Θεὸν ὑψιμέδοντα
of-ship in stern I-lay God high-ruling
κικλήσκων λιτῇσι. Τὸ δ’ ἄφρεε κῦμ’ ἐπὶ νῆα
calling-on with-prayers The and foamed wave upon ship
οὔρεσιν ἢ σκοπέλοισιν ὁμοῖον ἔνθα καὶ ἔνθα,
to-mountains or to-crags like here and there
πολλὸν δ’ ἐντὸς ἔπιπτε. Τινάσσετο δ’ ἄρμενα πάντα,
much and within fell Were-shaken and tackle all
ὀξέα συρίζοντος ἐπὶ προτόνοισιν ἀήτου.
sharply whistling upon forestays gale
Αἰθὴρ δ’ ἐν νεφέεσσι μελαίνετο, καὶ στεροπῇσι
Sky and in clouds was-blackened and with-lightnings
λάμπετο, καὶ κρατεραῖς περιάγνυτο πάντοσε φωναῖς.
shone and with-mighty was-broken-around everywhere voices
Τῆμος ἐμαυτὸν ἔδωκα Θεῷ, καὶ πόντον ἄλυξα
Then myself I-gave to-God and sea escaped
ἄγριον εὐαγέεσσιν ὑποσχεσίῃσι πεσόντα.
savage with-holy promises fallen

Οὐδ' ὅτε παλλομένης γε θεμείλια σείετο πάντα
Nor when shaken at-least foundations were-shaken all
Ἑλλάδος εὐρυχόροιο, κακοῦ δ' οὐ φαίνετ' ἀρωγή·
of-Greece spacious of-evil and not appeared help
αὐτὰρ ἐγὼ τρομέεσκον, ἐπεὶ ψυχὴν ἀτέλεστον
but I trembled since soul uninitiated
εἶχον ἔτ' οὐρανίοιο χαρίσματος, εὖτε λοετρῷ
I-had still of-heavenly gift when by-bath
ἕλκεται ἀνθρώποισι χάρις καὶ Πνεύματος αἴγλη.
is-drawn for-men grace and of-Spirit gleam
Οὐδ' ὅτε νοῦσος ἔπλησεν ἐμὸν στόμα ῥεύματι λάβρῳ,
Nor when sickness filled my mouth with-stream violent
καὶ πνοιῆς στείνωσε πόρους, ζωῆς τε κελεύθους.
and of-breath narrowed passages of-life both paths
Οὐδ' ὁπότ' ἀφραίνοντι νόῳ λυγὸν ἀμφὶς ἑλίξας,
Nor when with-raving mind withe around having-twisted
οὔτι ἑκὼν βλεφάρου περιηγέα κανθὸν ἄμυξα,
not-at-all willing of-eyelid round corner I-scratched
αἱματόεντα δ' ἔθηκα· Φάος δ' ἐμὸν, οἷα φονῆος,
bloody and I-made Light and my as of-murderer
ὤλετο, ἀμπλακίην δὲ πικρὴν μέγα πένθος ἔτετμεν.
perished sin and bitter great grief overtook
Οὐδὲ Θεῷ παλάμῃσιν ἐμαῖς ἀνέπεμψα θυηλὴν
Nor to-God with-palms my I-sent-up sacrifice
Πνεύματος, οὔτι πάρος γε, πρὶν ἔκλυσα δάκρυσι πῆμα.
of-Spirit not-at-all before indeed before I-washed with-tears woe
Ψαύειν μὴ καθαρῷ γὰρ ἁγνοῦ κακὸν, ὡς πυρόεντος
To-touch not with-pure for the-holy evil as of-fiery
ἀδρανὲς ὄμμα φέρειν κατεναντίον ἠελίοιο·
feeble eye to-bear opposite of-the-sun

ἄλλα τε πόλλ’ ἐμόγησα· τίς ἂν τάδε μυθήσαιτο,
other-things and many I-toiled who — these might-tell
οἷς με Θεὸς τείρων τε καὶ εὐμενέων ἐκάλεσσεν;
with-which me God wearing both and being-kind called
Ἀλλ’ οὔπω τοιοῖσδε κακοῖς πάρος ἀντεβόλησα,
But not-yet such evils before I-met
οἵοισι πυμάτοισιν ἐμὴ ἐνέκυρσε τάλαινα
as-such last my encountered wretched
ψυχή· καὶ ποθέει ποτ’ ἐλεύθερον ἦμαρ ἰδέσθαι
soul and longs once free day to-see
πάντ’ ἀποδυσαμένη, γυμνὴ φλόγας ὥς κε φύγῃσι,
all having-stripped-off naked flames that — it-may-flee
καὶ κόσμου κρατεροῖο λαβὰς, καὶ χάσμα πέλωρον
and of-world mighty grips and chasm monstrous
ἀμφιχανεῖν μεμαῶτος ἑαῖς γενύεσσι δράκοντος,
to-gape eager with-his jaws of-dragon
ὃν κε λάβῃ. Βελίῃ γὰρ ἐμὸς νόος ἐστὶν ἐδητύς.
whom — it-take for-Belial for my mind is food
Τίς δώσει κεφαλῇ πηγῆς ῥόον ἢ βλεφάροισιν,
Who will-give to-head of-spring stream or to-eyelids
ὡς δακρύων ὀχετοῖσι μολύσματα πάντα καθήρω,
that of-tears with-channels stains all I-may-cleanse
κλαύσας ὡς ἐπέοικεν ἁμαρτάδας (ἦ γὰρ ἄριστον
having-wept as befits sins truly for best
δάκρυόν ἐστι βροτοῖσιν ἄκος, ψυχαῖς τε μελαίναις,
tear is for-mortals remedy for-souls and black
καὶ κόνις αἰθαλόεσσα, καὶ ἐν χθονὶ σάκκος ἐρυμνός.);
and dust sooty and on ground sackcloth fortified
Ὅς τις ἔμ’ εἰσορόων τρομέῃ, καὶ φέρτερος εἴῃ,
That anyone me beholding may-tremble and better may-be

φεύγων Αἰγύπτοιο μέλαν πέδον, ἔργα τε πικρὰ,
fleeing of-Egypt black ground works both bitter
καὶ Φαραὼ βασιλῆα, πάτρην δ' ἐπὶ θείαν ὁδεύῃ,
and Pharaoh king fatherland and to divine may-walk
μηδὲ μένῃ Βαβυλῶνος ἐπὶ κραναῆς πεδίοισι
nor may-remain of-Babylon on rugged plains
δουριαλὴς, ὄχθῃσι παρεζόμενος ποταμοῖο,
spear-captured by-banks sitting of-river
ὠδῆς ὄργανα πάντα παρακλίνας ἀτίνακτα
of-song instruments all having-hung-aside unshaken
δακρυόεις, σπεύδῃ δ' ἱερῆς ἐπὶ τέρματα γαίης,
tearful may-hasten and of-holy to bounds of-land
δούλιον Ἀσσυρίηθε φυγὼν ζύγον, ὃς πρὶν ἔτειρε,
servile from-Assyria having-fled yoke which before wore
καὶ νηοῦ μεγάλοιο θεμείλια χερσὶ βάληται.
and of-temple great foundations with-hands may-lay
Τὴν μὲν ἐγὼ πανάποτμος ἐπεὶ λίπον, οὔποτ' ἔληξα
Her indeed I all-unhappy since I-left never ceased
ἱμείρων. Χαλεπὸν δὲ πάθος κατὰ γῆρας ἔχευε,
longing Grievous and suffering in old-age poured
καὶ κύπτω ποτὶ γαῖαν, ἐνὶ φρεσὶ πένθος ἀέξων,
and I-stoop toward earth in minds grief increasing
ἀζόμενος θνητούς τε καὶ ἀθάνατον Βασιλῆα,
revering mortals both and deathless King
εἵμασί τε κραδίῃ τε κατηφιόων, καὶ ἄνυδος,
in-garments both in-heart and downcast and speechless
ἕλκων οἶκτον Ἄνακτος ὀϊζύϊ, ὃς χθαμαλοῖσιν
drawing pity of-the-Lord by-woe who to-the-lowly
εὐμενέων πάντεσσιν ὑπερφιάλους ἀθερίζει·
kindly to-all the-arrogant disdains

οἷον δ’ ἐξ ἱερῆς Σολύμων κατιόντα πόληος
as but from holy of-Jerusalem going-down city
Ἰεριχοῦς πτολίεθρον ἐπὶ κλυτὸν, ὡς ἐνέπουσι,
of-Jericho town to famous as they-say
φῶρες ἐδηλήσαντο κακοὶ λοχόωντες ὁδίτην,
robbers harmed evil lying-in-wait-for wayfarer
οἱ μὲν τὸν πληγῇσιν ἀεικελίῃσι τεμόντες,
they indeed him with-blows unseemly having-cut
εἵματά τ’ ἐκδύσαντες ἅ μιν σκέπε, νηλεῖ θυμῷ
garments and having-stripped which him covered with-pitiless heart
λεῖψαν ἀποψύχοντα· θοῶς δ’ ἐνέκυρσαν ὁδῖται
left expiring swiftly and met wayfarers
Λευΐτης ἱερεύς τε, λίπον τέ ἑ νηλεῖ θυμῷ.
Levite priest both left and him with-pitiless heart
Καί που Σαμαρέων τις ἐπήλυθεν, ὅς σφ’ ἐλέηρε.
And somewhere of-Samaritans one came who him pitied
Καί μιν ἄγων κατέδησε, καὶ ἕλκεσι φάρμακ’ ἔλειπε,
And him leading bound and for-wounds remedies left
καὶ μισθὸν κομέοντι· τέρας μέγα, πῶς Σαμαρείτης
and wage to-the-tender wonder great how Samaritan
τόνδ’ ἐσιδὼν ἐλέηρεν, ὃν οὐκ ἐλέηραν ἄριστοι!
this-one having-seen pitied whom not pitied best
Οὐ γὰρ ἐγὼ σάφα οἶδα τί κεύθεται εἰκόνι τῇδε,
Not for I clearly know what is-hidden in-image this
οἷα Θεὸς σοφίῃ μυστήρια ἀμφικαλύπτει.
such-as God by-wisdom mysteries veils
Καὶ τὰ μὲν ἱλήκοι. Τοιοῖσδ’ ἐγὼ ἀντεβόλησα
And these indeed may-he-be-propitious With-such I met
πήμασι· καί μ’ ἐδάϊξεν ὁμῶς ψυχῇσι μεγαίρων
woes and me rent alike for-souls grudging

ληϊστὴς βιότου κεδνῆς καταβάντα πόληος,
robber of-life worthy having-gone-down from-city
καὶ Χριστοῦ μ' ἀπέδυσε χάριν, καὶ γυμνὸν ἔθηκεν,
and of-Christ me stripped grace and naked made
ὥσπερ Ἀδὰμ τοπρόσθε χοὸς καὶ πτώσιος ἀρχὴν,
as Adam formerly of-dust and of-fall beginning
ὃν γεῦσις καθέηκεν ἐπὶ χθόνα, τῆς γένος ἦεν.
whom taste brought-down to earth whose race he-was
Ἀλλά μ', Ἄναξ, ἐλέαιρε, καὶ ἐκ θανάτοιο σάωσον,
But me Lord pity and from death save
ὃν λεῖψαν ἱερῆες, ἐπεὶ μογέοντ' ἐνόησαν.
whom left priests when toiling they-perceived
Ἕλκεά τ' εὖ κατάδησον, ἄγων ἐπὶ πάνδοκον οἶκον,
Wounds and well bind leading to all-receiving house
αὖθις δ' εἰς ἱερὴν πέμποις πόλιν ἀρτεμέοντα,
again and into holy may-you-send city sound
ἔμπεδον ἔνθα μένοιμι, κακοὺς δ' ἀπὸ φῶρας ἐρύκοις,
firm where I-may-remain evil and from robbers may-you-ward-off
καὶ τρίβον ἀργαλέην, καὶ τραύματα, καὶ παροδίτας
and path grievous and wounds and passers-by
νηλέα θυμὸν ἔχοντας, ἐπ' εὐσεβίῃ κομόωντας.
pitiless heart having on piety priding
Πυνθάνομ' ὡς δύο φῶτε, μέγα πνείων Φαρισαῖος,
I-learn how two men greatly breathing Pharisee
ὥς γε Θεῷ πάντων προφερέστατος, ἠδὲ τελώνης
as at-least to-God of-all most-excellent and tax-collector
κέρδεσιν οὐχ ὁσίοισι τετρυμένος ἔνδοθεν ἦτορ,
by-gains not holy worn within heart

εἰς ἱερὸν ἀναβάντες· ὁ μὲν τὰ ἕκαστ’ ἀγόρευε
into temple having-gone-up the(-one) indeed the(-things) each told
νηστείας δεκάτας τε νόμου, παρεμέτρεε δ’ αὐτὸν
fastings tithes both of-law measured and himself
ἀνδράσι γε προτέροισι, λόγοις δ’ ἀθέριζε τελώνην·
against-men at-least former with-words and disdained tax-collector
αὐτὰρ ὁ δακρυχέων καὶ στήθεα χερσὶ πατάσσων,
but he shedding-tears and breasts with-hands beating
οὐδ’ ἄντην μεγάλοιο Θεοῦ θρόνον οὐρανὸν εὐρὺν
not-even facing of-great God throne heaven broad
εἰσορόων, λεύσσων δὲ κατ’ οὔδεος ὄμμασι δούλοις,
beholding looking but down ground with-eyes servile
τηλόθεν ἑστηκὼς δὲ λιτάζετο· «Ἵλαος εἴης,
from-afar standing and prayed Propitious may-you-be
ἵλαθι σῷ θεράποντι, βοῶν, βρίθοντι κακοῖσιν.
be-propitious to-your servant crying weighed-down with-evils
Οὐ νόμος, οὐ δεκάται με, καὶ ἔργματα καλὰ σαώσει
Not law not tithes me and works beautiful will-save
οὐδ’ ὅγ’ ἐπεσβολέων ψεύστης. Καὶ νηὸν ἔγωγε
nor he railing liar And temple I-for-my-part
αἰδέομ’ οὔτι πόδεσσιν ἐπιψαύων ὁσίοισι.
revere not-at-all with-feet touching holy
Σὴ δὲ χάρις, σὸς δ’ οἶκτος ἐμοὶ στάξειε βεβήλῳ,
Your but grace your and pity on-me may-drip profane
ἣν μούνην δειλοῖσιν, Ἄναξ, πόρες ἐλπίδ’ ἀλιτροῖς.»
which alone for-the-wretched Lord you-gave hope for-sinners
Ὣς φάσαν· ἀμφοτέρων δὲ Θεὸς κλύε, καί ῥ’ ἐλέηρεν
So they-spoke of-both and God heard and indeed pitied
ὃν μογέοντ’ ἐνόησεν, ὑπερμενέοντα δ’ ἄτισεν.
whom toiling he-perceived the-overweening and dishonored

Ὡς ἴδες, ὡς ἐδίκασας, ἐμοὶ, Θεὲ, θάρσος ὀπάζων.
As you-saw as you-judged for-me God courage granting
Οὗτος ἐγώ σοι κεῖνος ὁ πάγκακός εἰμι τελώνης·
This I to-you that the all-evil am tax-collector
ὡς δὲ βαρυστενάχω, ποιὴν δ᾽ ἐπιέλπομ᾽ ἀρωγήν.
as and I-groan-heavily some and I-hope-for help
Λίσσομαι, εἴ ποτε δή σε πατὴρ, καὶ πότνια μήτηρ
I-beg if ever indeed you father and lady mother
δάκρυσι, καὶ στοναχῇσι, καὶ εὐχωλῇσιν ἔτισαν,
with-tears and groans and prayers honored
ἤ τινά τοι κτεάνων τυτθὴν ἀπὸ μοῖραν ἔνειμαν,
or some to-you of-possessions small from portion assigned
ἢ θυσίαις καθαρῇσι καὶ εὐαγέεσσι γέρηραν
or with-sacrifices pure and holy rewarded
(οὐ γὰρ ἐγώ ποτε σεῖο ἐπάξιον οὐδὲ ἔρεξα),
not for I ever of-you worthy even did
τῶν μνῆσαι, καὶ ἄλαλκε· κακὰς δ᾽ ἀπόπεμπε μερίμνας·
of-these be-mindful and ward-off evil and send-away cares
μηδέ με συμπνίξειαν ἑοῖς πτόρθοισιν ἄκανθαι,
nor me may-choke with-their shoots thorns
μηδ᾽ ἄρ᾽ ἐπειγόμενον θείην ὁδὸν ἂψ ἐρύσειαν,
nor then hastening divine road back may-they-draw
ἄλκαρ ἐμὸν, πέμποις δέ μ᾽ ἀπήμονα. Σὸς γὰρ ἔγωγε
defense my may-you-send and me unharmed Yours for I-for-my-part
λάτρις, σὸν δὲ λάχος. Σὺ δέ μοι Θεὸς οἷος ἄνωθεν.
servant your and lot You and to-me God alone from-above

His mother dedicated him to God, like Anna's Samuel and Abraham's Isaac, and from boyhood Christ bound him to sobriety and led him from marriage through the narrow gate. But life is a breeze, a whirling strait, and no one stays good to the end: he who walked straight as a child now staggers like a drunkard, swayed by the crooked serpent. He cannot hide from God's eye and fears the fire that tests every work; his soul is a tree a winter river undermines and casts on the rocks. He begs Christ for oil for his lamp, Lazarus's drop of water, and every miracle of the Gospels. With no wife, children, brothers, or peaceable friends, fleeing the lion only to meet the bear and the snake, he turns at last to the Trinity.

Σοὶ δέ μ' ἀπὸ σπλάγχνων μήτηρ ἀνέθηκε φέρουσα,
To-you and me from bowels mother dedicated bearing
ἤματι τῷ, ὅτε κοῦρον ἑοῖς ἐπὶ γούνασι θεῖναι
on-day the when boy her-own on knees to-set
παῖδα ποθεῦσ' ἱερῆς Ἄννης ἐμιμήσατο φωνήν·
child longing of-holy of-Anna imitated voice
«Κοῦρον ἐγὼ μὲν ἴδοιμι, σὺ δ' ἕρκεος ἐντὸς ἐέργοις,
Boy I indeed may-see you and of-fence within may-keep
Χριστὲ ἄναξ, ὠδῖνος ἐμῆς ἐριθηλέα καρπόν.»
Christ lord of-travail my flourishing fruit
Εἶπε· Θεὸς δ' ἐπένευσας, ὁ δ' ἕσπετο θεῖος ὄνειρος
She-said God and you-assented the and followed divine dream
οὔνομα μητρὶ φέρων, μετέπειτα δὲ κοῦρον ἔδωκας.
name to-mother bearing afterward and boy you-gave
Ἡ δέ με σοῖς ἱεροῖσι νέον ἀνέθηκε Σαμουὴλ,
She and me to-your holy-places young dedicated Samuel
εἴ ποτ' ἔην. Νῦν δ' αὖτ' ἐναρίθμιός εἰμι βεβήλοις
if ever I-was Now but again numbered I-am with-profane
Ἠλεὶ σοῦ θεράποντος ἀγακλέος υἱέσι μάργοις,
of-Eli your servant glorious with-sons greedy

οἳ θυσίαις καθαρῇσιν ἐπέχραον ἄφρονι θυμῷ,
who on-sacrifices pure fell with-senseless heart
χερσὶν ἐφαπτόμενοι θείων λίχνῃσι λεβήτων·
with-hands touching of-divine with-gluttonous cauldrons
τοὔνεκα καὶ χαλεπῆς κύρσαν βιότοιο τελευτῆς.
therefore also of-grievous they-met of-life end
Ἀλλ᾽ ἥγ᾽ ἐλπωρῇσιν ἀμείνοσι μοῖραν ἔνειμε
But she with-hopes better portion assigned
σοὶ τεκέων, Βίβλοισι δ᾽ ἐμὰς χέρας ἥγνισε θείαις,
to-you of-children with-books and my hands purified divine
καί μ᾽ ἀγαπαζομένη, τοίῳ προσεφώνεε μύθῳ·
and me cherishing with-such addressed word
«Ἤδη τις φίλον υἷα Θεόσδοτον ἤγαγε βωμῷ,
Already someone dear son God-given led to-altar
σπεύδοντ᾽ ἐς θυσίην ἱερῄϊον, ἐσθλὸν ἄριστος,
hastening to sacrifice victim noble best
Σάῤῥας ὀψιτόκοιο γόνον, ῥίζαν τε γενέθλης,
of-Sarah late-bearing offspring root both of-race
ἣν ἐλπὶς ἐχάρασσεν, ὑποσχεσίη τε Θεοῖο.
which hope engraved promise and of-God
Ἀβρὰμ ἦν ἱερεὺς, ἀμνὸς δέ τε κύδιμος Ἰσάκ·
Abraham was priest lamb and indeed glorious Isaac
αὐτὰρ ἐγὼ ζωόν σε Θεῷ γέρας, ὥσπερ ὑπέστην,
but I living you to-God gift as I-undertook
δωροῦμαι. Σὺ δέ μοι μητρὸς τελέσειας ἐέλδωρ,
I-present You and to-me of-mother may-fulfill desire
ἣ τέκον εὐξαμένη σε, καὶ εὔχομαι εἶναι ἄριστον.
who bore having-prayed you and I-pray to-be best

Τοῦτον ἐγώ σοι πλοῦτον, ἐμὸν τέκος, ἐσθλὸν ὀπάζω
This I to-you wealth my child noble grant
ἐνθάδε καὶ μετέπειτα. Τὰ ὕστατα πολλὸν ἀρείω.»
here and afterward The last-things much better
Μητρὸς μὲν πόθος οὗτος. Ἐγὼ δ’ ὑπόειξα πόθοισι
Of-mother indeed longing this I and yielded to-longings
παῖς ἔτ’ ἐὼν, ἁπαλὴ δὲ νέην ὑπεδέξατο μορφὴν
child still being tender and young received form
εὐσεβίης ψυχή· σφρηγὶς δ’ ἐφυλάσσετο Χριστοῦ
of-piety soul seal and was-guarded of-Christ
νεύμασιν, ὅς ῥ’ ἀναφανδὸν ὁμίλεεν ᾧ θεράποντι,
by-nods who indeed openly consorted with-his-own servant
σωφροσύνη δέ μ’ ἔδησε φίλη, καὶ σάρκα πέδησε,
sobriety and me bound dear and flesh fettered
καὶ θερμὸν σοφίης θείης ἐπέπνευσεν ἔρωτα,
and warm of-wisdom divine breathed-into love
καὶ μοναχοῦ βιότοιο, βίου μέλλοντος ἀπαρχὴν,
and of-monastic life of-life coming firstfruit
πλευρᾶς οὐ χατέοντος ἑὸν δέμας ἀμφαγαπώσης,
of-rib not lacking her-own body cherishing
ῥήμασί θ’ αἱμυλίοισι πικρὴν ἐπὶ γεῦσιν ἀγούσης,
with-words and wheedling bitter to taste leading
ἀλλὰ Θεῷ πέμποντος ἁγνὸν πόθον, οὐδὲ γυναικὶ
but to-God sending pure longing nor to-woman
καὶ Χριστῷ τέμνοντος ὅλον Θεοῦ ἐκγεγαῶτα.
and to-Christ cutting whole of-God born
Ὅς με διὰ στεινῆς τε καὶ ἀργαλέης ἐπὶ λεπτὴν
Who me through narrow both and grievous to slender
τείνων ἀτραπιτοῖο πύλην σὺν ἀρείονι πομπῇ,
stretching of-path gate with better escort

οὔτι βατὴν πολλοῖσι, Θεῷ θεὸν ἦγ' ἀπὸ γαίης
not-at-all passable for-many to-God god led from earth
τυκτὸν οὐ γεγαῶτι, καὶ ἄφθιτον ἐκ θανάτοιο.
made not born and imperishable from death
Εἰκόνι σὺν μεγάλοιο Θεοῦ, καὶ σῶμ' ἐπαρωγὸν
With-image together-with of-great God also body helping
ἕλκων, οἷα μάγνησσα λίθος αἴθωνα σίδηρον.
drawing as magnet stone fiery iron
Ὤ μοι ἐγών! Ὦ λυγρὰ καὶ ἄντιτα ἔργα παθοῦσα
Woe me I O baneful and opposite works having-suffered
ψυχή! Ὦ θνητοὶ κενεαυχέες! ὡς ἐτεόν γε
soul O mortals empty-boasting how truly indeed
λεπταλέαις αὔρῃσιν ἐοικότες, οἳ γενόμεσθα,
to-slight breezes like who we-were
ἠὲ καὶ Εὐρίποιο παλιμπλάγκτοισιν ἐρωαῖς
or even of-Euripus by-wandering-back rushes
στρωφώμεσθ' ἐπὶ γαῖαν ἐτώσια φυσιόωντες.
we-whirl upon earth vain-things puffing
Κοὐδὲν ἐν ἀνθρώποισιν ὁμοῖον ἐς τέλος ἐστὶν,
And-nothing among men alike to end is
οὐ κακὸν, οὐδὲ μὲν ἐσθλόν. Ὁδοὶ δ' ἄγχισται ἔασιν.
not evil nor indeed good Roads and nearest are
Οὐδ' ὁ κακὸς τό γε οἶδεν ἐς ὕστατον, ὁππότε λήξει,
Nor the evil this indeed knows to last when he-will-cease
οὔτ' ἐσθλοῖς ἀρετὴ μένει ἔμπεδον, ἀλλὰ κολούει,
nor for-good virtue remains firm but lops
ὡς τάρβος κακίην, ἀρετὴν φθόνος. Ἀμφοτέροις δὲ
as fear vice virtue envy To-both and
κάμπτεσθ' ἡμερίων Χριστός γ' ἐκέλευσε γενέθλην,
to-bend of-mortals Christ indeed bade race

ὥς κεν ἄνω νεύοιμεν ἐὸν σθένος εἰσορόωντες.
that — upward we-may-incline his might beholding
Κεῖνος δ’ ἐστὶν ἄριστος ὃς ἰθείην ὁδὸν ἕλκει,
He but is best who straight road draws
οὐδὲ μεταστρέψεται Σοδόμων ἐπὶ τέφραν ἐρήμην,
nor will-turn-back of-Sodom to ash desolate
ἣν διὰ μαργοσύνην ξείνῳ πυρὶ δηϊωθέντων.
which because-of lust by-strange fire destroyed
Φεύγει δ’ ἐσσυμένως ἐς ὄρος, πάτρης δὲ λέλησται,
Flees and hastily to mountain of-fatherland and has-forgotten
μὴ μῦθος καὶ λᾶας ἁλὸς μετόπισθε λίπηται.
lest tale and stone of-salt behind be-left
Μάρτυς ἐγὼ παθέεσσιν ἐμοῖς βροτέης κακότητος.
Witness I by-sufferings my of-mortal wickedness
Παῖς μὲν ἐὼν, ὅτε τυτθὸν ἐνὶ στήθεσσι νόημα,
Child indeed being when small in breast thought
οἵῳ δὴ σκιόεντι λόγῳ, καὶ ἤθεσι κεδνοῖς
with-such indeed shadowy word and with-ways worthy
ἑσπόμενος, προσέβαινον ἄνω λάμποντι θοώκῳ,
following I-advanced up to-shining seat
ἴχνεσιν ἀπλανέεσσιν ἰὼν βασιλήϊον οἶμον.
with-steps unerring going kingly path
Νῦν δ’ ὅτε μῦθον ἄγειρα, βίου δ’ ἐπὶ τέρμαθ’ ἱκάνω,
Now but when tale I-gathered of-life and to bounds I-come
οἷα μεθυπλανέεσσι τάλας ποσὶ δόχμια βαίνω.
as with-drunkenly-wandering wretch feet aslant I-walk
Καί με ταλαντεύει σκολιοῦ μόθος ἑρπηστῆρος,
And me sways of-crooked turmoil of-creeper
λάθρα καὶ ἀμφαδίην κλέπτων φρένας ἐσθλὰ νοεύσας.
secretly and openly stealing minds good-things having-thought

Ἄλλοτε μέν τε Θεῷ τείνω νόον, ἄλλοτε δ' αὖτε
At-times indeed — to-God I-stretch mind at-times and again
ἕλκομαι ἐς κόσμοιο κακὴν χύσιν, οὐκ ὀλίγην δὲ
I-am-drawn to of-world evil outpouring not small and
μοῖραν ἐμῆς ψυχῆς λωβήσατο κόσμος ἀπείρων.
portion of-my soul harmed world boundless
Αὐτὰρ ἐγὼν, εἰ καί με κάκη ἐκάλυψε μέλαινα,
But I if even me evil covered black
καὶ δνοφερὸν προπάροιθεν ἰὸν χέεν ἐχθρὸς ἐμεῖο,
and dark before poison poured enemy of-me
σηπίη ὡς ἐμόωσα καθ' ὕδατος, ἀλλὰ καὶ ἔμπης
cuttlefish as vomiting in water but also nevertheless
τόσσον ἔτ' εἰσορόω καὶ δέρκομαι, ὅσσον ἄριστα
so-much still I-look and I-see as-much-as best
ἴδμεναι, ὅστις ἐὼν, καὶ οἳ ποθέων ἀνοροῦσαι,
to-know who being and whither longing to-leap-up
οἷ κεῖμαι δύστηνος, ὅσον τ' ἐπὶ γαῖαν ὄλισθον
where I-lie wretched how-much and toward earth I-slipped
ἢ καὶ γῆς ὑπένερθεν ἐς εὐρώεντα βέρεθρα.
or even of-earth beneath into dank pits
Οὔτε παραιφασίῃσιν ἰαίνομαι, οὔτε λόγοισι
Neither by-consolations am-I-warmed nor by-words
κλέπτομαι, οἳ παθέεσσιν ἀρηγόνες, οὔτε μέτροισιν
am-I-beguiled which for-sufferings helpers nor by-measures
ἀλλοτρίης κακίης ἐπιτέρπομαι, ὥς τις ἄριστος.
of-another's vice do-I-delight as some best
Τίς γὰρ τεμνομένοισι χάρις μογέουσι σιδήρῳ
What for for-the-cut favor toiling by-iron
ἄλλων τεμνομένων ὁράαν χαλεπώτερον ἄλγος;
others being-cut to-see more-grievous pain

Ἢ τί κακοῖσιν ὄνειαρ ἀτασθαλίῃσι χερείων;
Or what to-evil benefit by-wickedness worse
Ἐσθλοῦ μὲν γάρ κέν τις ἀρείονος ἐσθλὸς ἐπαύροι·
From-good indeed for — anyone better good may-gain
ὡς δὲ κακός. Καὶ γάρ τις ὁρῶν τυφλοῖσιν ὄνειαρ.
as and evil And for someone seeing to-blind benefit
Τέρπεσθαι δὲ κακοῖσι, τελειοτέρης κακότητος.
To-delight and in-evils of-more-perfect wickedness
Εἰ δέ τις ὄντα κάκιστον ὀΐεται ἔμμεν ἄριστον,
If but anyone being worst thinks to-be best
ἄχθος ἐμοὶ, καὶ κρυπτὸς ἐνὶ στήθεσσιν ὀδυρμός.
burden to-me and hidden in breasts lament
Κρεῖσσον ἄριστον ἐόντα δοκεῖν κακὸν, ἠὲ κάκιστον
Better best being to-seem evil than worst
κῦδος ἔχοντ’ ἀγαθοῖο, τάφον ψεύστην μερόπεσσιν
glory having of-good tomb liar to-mortals
ἔμμεναι, ὃς μυδόωσι νεκροῖς ἔντοσθεν ὀδωδὼς,
to-be which with-rotting corpses within stinking
ἔκτοθεν ἀστράπτει κονίῃ καὶ χρώμασι τερπνοῖς.
outside flashes with-dust and with-colors pleasant
Ὄμμα μέγα τρομέωμεν, ὃ καὶ γαίης ὑπένερθε
Eye great let-us-tremble-at which also of-earth beneath
λεύσσει, καὶ πόντοιο μέγαν βυθὸν, ὅσσα τε κεύθει
sees and of-sea great depth as-much-as — hides
νοῦς μερόπων. Τέμνει δ’ οὐδὲν χρόνος, ἀλλὰ πάρεστι
mind of-mortals Cuts and nothing time but is-present
πάντα Θεῷ. Πῶς κέν τις ἑὸν κακὸν ἀμφικαλύπτοι;
all-things to-God How — anyone his-own evil could-veil
Ἤματι δ’ ὑστατίῳ ποῦ κεύσομεν ἡμέας αὐτούς;
On-day and last where shall-we-hide us ourselves

Ἢ τίς ἀλεξήσει; πῶς λήσομεν ὄμμα Θεοῖο,
Or who will-defend how shall-we-escape eye of-God
ἡνίκα πῦρ κρίνῃσι καθάρσιον ἔργματα πάντων,
when fire judges purifying works of-all
βοσκόμενον κακίης κούφην φύσιν αὐαλέην τε.
feeding of-vice light nature dry and
Τὴν μὲν ἐγὼ τρομέω καὶ δείδια νύκτα καὶ ἦμαρ,
That indeed I tremble and fear night and day
εἰσορόων ψυχὴν θεόθεν πίπτουσαν ἔραζε,
seeing soul from-God falling to-the-ground
καὶ χοὸς ἄσσον ἰοῦσαν, ὃν ἐκφυγέειν μενέαινον.
and to-dust nearer going which to-flee I-was-eager
Ὡς δ' ὅτε χειμερίοιο παρ' ὄχθῃσιν ποταμοῖο,
As and when of-wintry by banks of-river
ἢ πίτυν ἢ πλατάνιστον ἐπηετανὸν κομόωσαν,
either pine or plane-tree perennially leafy
ῥηγνύμενος ῥίζῃσι ῥόος δηλήσατο γείτων·
breaking with-roots stream harmed neighboring
τῆς δή τοι πρῶτον μὲν ὑπέχματα πάντα τίναξε,
of-which indeed indeed first indeed underpinnings all shook
καὶ κρημνῷ μιν ἔθηκεν ἐπήορον, αὐτὰρ ἔπειτα
and to-cliff it set hanging but then
βαιῇσι ῥίζῃσιν ἐρυκομένην προθέλυμνον,
by-small roots held from-the-foundations
κρημνοῦ ἀποῤῥήξας μεσάταις ἐνὶ κάββαλε δίναις,
from-cliff having-torn-off in-middle in cast eddies
καί μιν ἄγων μεγάλῳ πατάγῳ πέτρῃσιν ἔδωκεν·
and it leading with-great crash to-rocks gave

ἔνθα δέ μιν ὄμβρος καὶ ἀφυσγετὸς αἰὲν ἐρείδων
there and it rain and torrent always pressing
σῆψαν, ἀτιμότατον δὲ τρύφος παρὰ χείλεσι κεῖται.
rotted most-dishonored and fragment beside banks lies
Ὣς καὶ ἐμὴν ψυχὴν Χριστῷ θαλέθουσαν ἄνακτι,
So also my soul for-Christ flourishing lord
λάβρος ἐπαΐσσων χαμάδις βάλεν ἐχθρὸς ἀτειρής,
violent darting-upon on-the-ground cast enemy unwearied
ἧς πλεῖστον μὲν ὄλεσσε, μικρὸν δέ τι λείψανον αὖτως
of-which most indeed destroyed small and some remnant thus
πλάζεται ἔνθα καὶ ἔνθα. Θεοῦ γέ μιν αὖθις ἐγεῖραι,
wanders here and there Of-God at-least it again to-raise
ὅς ῥα καὶ οὐδὲν ἐόντας ἐπήξατο, καὶ μετέπειτα
who indeed even nothing being fixed and afterward
λυομένους πήξει τε καὶ ἐς βίον ἄλλον ἐρύσσει,
being-loosed will-fix both and into life other will-draw
ἢ πυρὸς, ἠὲ Θεοῖο φαεσφόρου ἀντιάσοντας.
either of-fire or of-God light-bearing going-to-meet
Εἰ δὲ Θεοῦ, καὶ ἅπαντας ἐσύστερον; ἄλλοθι κείσθω.
If but of-God also all afterward elsewhere let-lie
Χριστὲ ἄναξ, εἰ καί με νεκρὸν καὶ ἀνάλκιδα φῶτες
Christ lord if even me dead and strengthless men
δυσμενέες καλέουσι, λάθρῃ δ’ ἐπιμυχθίζουσι,
hostile call secretly and mutter
κινυμέναις κεφαλῇσιν ἐμὴν γελόωντες ὀϊζὺν,
with-moving heads my laughing-at woe
μή με λίπῃς χείρεσσιν ὑπ’ ἀντιβίῃσι δαμῆναι·
not me leave by-hands under hostile to-be-subdued
πρῶτα μὲν οὐρανίῃσιν ἐν ἐλπίσιν αὖθις ἐρείδοις,
first indeed in-heavenly in hopes again may-you-fix

καί μοι σβεννυμένῳ τυτθὴν στάξειας ἐλαίου
and to-me being-quenched small may-you-drip of-oil
ἰκμάδα, διψαλέῳ λύχνῳ φωστῆρος ἀρωγὸν,
moisture for-thirsty lamp of-luminary helping
ὥς κεν ἐγειρομένοιο πυρὸς, παλινάγρετον ἔλθῃ
that — of-rising fire back may-come
φῶς ἀναθηλῆσαν, ζωῆς δὲ τύχοιμι φαεινῆς.
light having-bloomed-again of-life and may-I-obtain bright
Δεύτερον ἄχθεα πάντα δίδοις ἀνέμοιο θυέλλαις,
Second burdens all may-you-give of-wind to-blasts
ῥίψας ἐξ ἐμέθεν (πνοὴν δ' ὀπάσειας ἐλαφρὴν),
having-cast from me breath and may-you-grant light
οἷσιν ἄδην ἐδάμασσας ἐμὸν κέαρ· εἴτε με πικρῆς
by-which enough you-subdued my heart whether me of-bitter
τινύμενος κακίης, εἴτ' ἄλγεσιν, οἷά τε πῶλον
punishing vice or by-pains as both colt
παντοίοισι δρόμοισι καὶ ἠλιβάτοισι δαμάζων·
with-all-kinds courses and steep taming
εἴτε τιν' ὄγκον ἐμῆς ἴσχων φρενὸς, ὅς ῥα τάχιστα
or some swelling of-my mind checking which indeed most-quickly
φύεται εὐσεβέεσσιν, ὅσοι νόον εἰσὶν ἐλαφροὶ,
grows in-the-pious as-many-as in-mind are light
οἳ κακὸν ἐξ ἀγαθοῖο Θεοῦ τύφον ἁρπάζουσιν·
who evil from good of-God vanity snatch
εἴτε κακοῖς ἐθέλων, σῶτερ Λόγε, ἡμετέροισι
or by-evils wishing savior Word our
παιδεῦσαι θνητοὺς, βιότου στυγέειν κακότητα
to-train mortals of-life to-hate wickedness
ὡς οὐχ ἱσταμένου, πᾶσιν δ' ἐπὶ πήματ' ἄγοντος,
as not standing to-all and upon woes bringing

ἐσθλοῖς ἠδὲ κακοῖσι, βίον δ’ ἐπὶ ἄλλον ἐπείγειν,
to-good and evil life and to other to-hasten
ἔμπεδον, ἀστυφέλικτον, ἀρείονά τ’ εὐσεβέεσσιν.
firm unshaken better and for-the-pious
Ἀλλὰ τὰ μὲν σοφίης μεγάλοις ἐνὶ βένθεσι κεῖται,
But these indeed of-wisdom in-great in depths lie
ὅσσα φέρει στρεπτοῖο βίου παιδεύματα θνητοῖς,
as-many-as bears of-twisting life lessons for-mortals
ἐσθλά τε καὶ τὰ χέρεια· Λόγῳ δέ τε πάντα φέριστα,
good both and the worse by-Word and indeed all-things best
κῆν πλείω φεύγῃσι νόου πάχος ἡμετέροιο.
even-if more escape of-mind thickness our
Νωμᾷς δ’ ἔνθα καὶ ἔνθα σοφῶς οἰήϊα κόσμου,
You-steer and here and there wisely tillers of-world
οἷσιν ἐλαυνόμενοι τρηχὺ σπιλάδεσσι κακῇσι
by-which driven roughly on-reefs evil
λαῖτμα μέγ’ ἐκπερόωμεν ἀπιστοτάτου βιότοιο.
gulf great we-cross of-most-faithless life
Αὐτὰρ ἐγὼ μογέων, καὶ πήμασι παντοδαποῖσι
But I toiling and by-woes of-all-kinds
τειρόμενος, κάμπτω σοι γούνατα. Πέμψον ἔμοιγε
worn bend to-you knees Send to-me-at-least
δακτύλῳ ἰκμαλέῳ ξηρὴν φλογὶ Λάζαρον ὥκα
with-finger moist dry with-flame Lazarus quickly
γλῶσσαν ἀναψύξοντα, χάος δέ με μηκέτ’ ἐρύκοι,
tongue going-to-cool chasm and me no-longer may-hold-back
μηδ’ Ἀβραὰμ μεγάλων κόλπων ἀποτηλόθι βάλλοι
nor of-Abraham great from-bosoms far-away may-cast
πλούσιον ἐν παθέεσσι. Τεὴν δ’ ἐπὶ χεῖρα κραταιὴν
rich-man in sufferings Your and to hand mighty

πέμψειας, ἀχέων δὲ πόροις ἄκος, εἰς δέ με πάντα
may-you-send of-griefs and to-passages remedy to and me all
θαύματα καὶ τεράων δείξαις σθένος, ὡς τοπάροιθεν.
wonders and of-portents may-you-show might as formerly
Εἰπὲ, καὶ αἱματόεσσα ῥύσις λήξειε τάχιστα.
Speak and bloody flow may-cease most-quickly
Εἰπὲ, καὶ ἐκμήνειε συῶν ἀγέλην λεγεῶνος
Speak and may-madden of-swine herd of-legion
πνεῦμα, καὶ ἐν πελάγεσσι πέσοι, χάζοιτο δ' ἐμοῖο.
spirit and into seas may-fall may-withdraw and from-me
Καὶ λέπρην ἐλάσειας ἀτερπέα· καὶ φάος ἔλθοι
And leprosy may-you-drive joyless and light may-come
ὄμμασιν οὐχ ὁρόωσι, καὶ οὔατα φθόγγον ἀκούοι·
to-eyes not seeing and ears sound may-hear
καὶ ξηρὴν τανύσειας ἐμὴν χέρα, δεσμά τε γλώσσης
and dry may-you-stretch my hand bonds and of-tongue
ῥήξειας, στήσαις δὲ ποδῶν βάσιν ἀδρανέουσαν.
may-you-break may-you-set and of-feet step strengthless
Ἐκ δ' ἄρτου κορέσαις ὀλίγου· στορέσαις δὲ θάλασσαν
From and bread may-you-satisfy little may-you-calm and sea
δειμαλέην· στράψαις δὲ φαάντερον ἠελίοιο.
fearful may-you-flash and brighter than-sun
Πήξειας δὲ μέλη βεβαρηότα, ἐκ νεκύων δὲ
May-you-fix and limbs weighed-down from corpses and
αὖθις ἀναστήσειας ὀδωδότα· μηδέ μ' ἄκαρπον,
again may-you-raise stinking nor me fruitless
οἷα συκῆν τοπάροιθεν, ἰδὼν, ξηρὸν τελέσειας.
as fig-tree formerly having-seen dry may-you-make
Ἄλλος μέν τ' ἄλλοισιν ἀρηγόσι, Χριστὲ, πέποιθεν,
One indeed — in-others helpers Christ trusts

αἵματι, καὶ τέφρῃ, καὶ ὀφρύϊ σήμερον οὔσῃ.
in-blood and in-ash and in-brow today being
Οἵ τ’ ἄλλου χατέουσιν ἀρηγόνος οὐτιδανοῖο·
Who and of-other need helper worthless
σοὶ δ’ ἄρ’ ἐγὼ μούνῳ, Βασιλεύτατε, μοῦνος ἐλείφθην,
to-you and then I alone Most-kingly alone was-left
ὃς πάντων κρατέεις, καί μοι σθένος ἐσσὶ μέγιστον.
who all rule and to-me strength are greatest
Οὔ μ’ ἄλοχος κομέουσα δυσαλθέα κήδεα λύσει.
Not me wife tending hard-to-heal cares will-loose
Ἥ τε καὶ ἀσχαλόωντα παρηγορίῃσιν ἰαίνει·
Who — and vexed with-consolations warms
οὐδὲ φίλοις παίδεσσιν ἀγάλλομαι, οἷς ὑπὸ γῆρας
nor in-dear children do-I-glory by-whom under old-age
ὀρθοῦται, νεαροῖσιν ὑπ’ ἴχνεσιν αὖθις ὁδεῦον·
is-straightened young under steps again walking
οὐδὲ κασιγνήτοις ἐπιτέρπομαι, οὐδ’ ἑτάροισι.
nor in-brothers do-I-delight nor in-companions
Τοὺς μὲν γὰρ στυγερὸς μόρος ἥρπασεν· οἱ δὲ φιλεῦντες
Them indeed for hateful doom snatched they but loving
νηνεμίην, ἑτάρων ὀλίγην φρῖκα τρομέουσι
calm of-companions small shudder tremble
κείνην τερπωλὴν οἵην ἔχον, ὡς ὅτε πηγὴν
that delight such-as I-had as when spring
διψαλέῃ ψυχρὴν ἔλαφος σχεδὸν, ἄνδρας ἀρίστους,
thirsty cold deer near men best
χριστοφόρους, ζώοντας ἐπὶ χθονὶ, σαρκὸς ὕπερθεν,
Christ-bearing living on earth of-flesh above
Πνεύματος ἀενάοιο φίλους, καὶ λάτριας ἐσθλοὺς,
of-Spirit ever-flowing friends and servants noble

ἀζυγέας, κόσμοιο περίφρονας. Ἀλλὰ καὶ αὐτοὶ
unyoked of-world disdainful But even themselves
μαρνάμενοι περὶ σεῖο διακριδὸν ἔνθα καὶ ἔνθα
fighting about you apart here and there
ἵστανται, ζῆλος δὲ Θεοῦ λύσε θεσμὸν ἀθέσμως,
stand zeal and of-God loosed ordinance lawlessly
ἁρμονίην τ' ἀγάπης, ἧς οὔνομα μοῦνον ἐλείφθη.
harmony and of-love of-which name only was-left
Ὡς δ' ὅτε τίς τε λέοντα λιπὼν ἄρκτῳ πελάσειε
As and when anyone — lion having-left to-bear approach
μαινομένῃ, καὶ τήνδε φυγὼν ἐς δῶμα πέσῃσιν
raging and this having-fled into house fall
ἀσπασίως, καὶ χεῖρα ἑὴν πρὸς τοῖχον ἐρείσῃ,
gladly and hand his against wall lean
ἔνθεν δ' ἐκπροθορών μιν ὄφις τύψησιν ἀέλπτως
thence and having-leapt-out him snake strike unexpectedly
ὣς καὶ ἐμοὶ πολλοῖσιν ἐλαυνομένῳ παθέεσσιν,
so also to-me by-many being-driven sufferings
οὐδὲν ἄκος καμάτοιο, τὸ δ' ἄλγιον, ὅ ττί κεν εὕρω.
no remedy of-labor the but more-painful what ever — I-find
Πάντῃ δ' ἀθρήσας τε καὶ ἐν πάντεσσι μογήσας,
Everywhere and having-looked both and in all having-toiled
ἐκ σέθεν, εἰς σὲ, μάκαρ, λεύσσω πάλιν, ἄλκαρ ἐμοῖο,
from you to you blessed I-look again defense of-me
παντοκράτωρ, ἀγένητε, καὶ ἀρχὴ, καὶ πάτερ ἀρχῆς,
almighty unbegotten and beginning and father of-beginning
Υἱέος ἀθανάτοιο, φάος μέγα φωτὸς ὁμοίου,
of-Son deathless light great of-light like
ἐξ ἑνὸς εἰς ἓν ἰόντος ἀτεκμάρτοισι λόγοισιν·
from one to one going with-untraceable reasons

Υἱὲ Θεοῦ, σοφίη, βασιλεῦ, λόγε, ἀτρεκίη τε,
Son of-God wisdom king word truth and
εἰκὼν ἀρχετύποιο, φύσις γεννήτορος ἴση,
image of-archetype nature to-begetter equal
ποιμὴν, ἀμνὲ, θύος τε, Θεὲ, βροτὲ, ἀρχιερεῦ τε·
shepherd lamb sacrifice and God mortal high-priest and
Πνεῦμά θ’ ὃ πατρόθεν εἶσι, νόου φάος ἡμετέροιο,
Spirit and which from-the-Father goes of-mind light our
ἐρχόμενον καθαροῖσι, Θεὸν δέ τε φῶτα τίθησιν
coming to-the-pure God and indeed man makes
ἵλαθι, καί μοι ὄπασσον ἐπιπλομένοις ἐνιαυτοῖς,
be-propitious and to-me grant in-coming years
ἐνθάδε καὶ μετέπειτα ὅλῃ θεότητι μιγέντα,
here and afterward with-whole godhead mingled
γηθόσυνον ὕμνοις σε διηνεκέεσσι γεραίρειν.
joyful with-hymns you unceasing to-honor

ΙΘ΄. Σχετλιαστικὸν ὑπὲρ τῶν αὐτοῦ παθῶν

POEM II.1.19 · A COMPLAINT ABOUT HIS SUFFERINGS

Gregory dares to complain to Christ, as a son speaks rashly to a good father. Why has he been struck since birth by land and sea, by enemies, friends, and the worst of leaders, hunted like a lion by dogs? Others have wealth, sons, beauty, or eloquence; he is famous for suffering, a new Job, but punished for the pride of thinking he had mastered all. He took his father's throne from duty, preached to strangers, and was sent back by sickness, while men mocked his pains. He bows his neck: Christ died for sinners, and the Gospels have three tax-collectors, three paralytics, and three raised from the dead; let him be the fourth of each, and let a better shepherd follow him.

Πολλάκι Χριστὸν ἄνακτα κακοῖς μογέων μεγάλοισιν
Often Christ lord with-evils toiling great
ὠνοσάμην· καὶ γάρ τις ἄναξ θεράποντος ἔνεικε
I-reproached and for some lord of-servant bore
δούλιον ἐν στομάτεσσι λαλεύμενον ἠρέμα τρυσμὸν,
servile in mouths spoken gently murmur
ὡς δὲ πατὴρ ἀγαθὸς καὶ ἄφρονος υἷος ἑοῖο
as and father good also of-senseless son his-own
πολλάκις ἀμφαδίων ἐπέων θράσος ἦχ᾽ ὑπέδεκτο,
often of-open words daring rash received
τοὔνεκα καὶ σὺ λόγοισιν ἐμοῖς, Θεὸς, ἵλαος εἴης,
therefore also you to-words my God propitious may-be
οὕς τοι ἀχηχεμένη κραδίη, ἀγανώτατε, πέμψει.
which to-you grieved heart most-gentle will-send
Βαιὸν ἄκος παθέεσσιν ἐρευγομένη φρενὸς ὠδίς.
Small remedy for-sufferings belching of-mind travail
Χριστὲ ἄναξ, τί τόσοις με κακοῖς διέπερσας ἄνωθεν,
Christ lord why with-so-many me evils you-ravaged from-above

ἐξότε μητρὸς ὄλισθον ἐμῆς ἐπὶ μητέρα γαῖαν;
from-when from-mother's I-slipped my to mother earth
Εἰ μὴ καὶ λαγόνεσσιν ἐνὶ σκοτίῃσι πέδησας,
If not even in-loins in dark you-fettered
τίπτε τόσοις ἀχέεσσι, καὶ εἰν ἁλί, καὶ κατὰ γαῖαν,
why with-so-many griefs both in sea and on earth
ἐχθροῖσίν τε φίλοις τε καὶ ἡγεμόνεσσι κακίστοις,
by-enemies both by-friends both and by-leaders worst
ξείνοις, ἡμεδαποῖς τε καὶ ἀμφαδὸν, ἢ λοχόωσι,
by-strangers by-our-own both and openly or by-the(-ones)-lying-in-wait
μύθοις τ' ἀντιθέτοις, καὶ λαϊνέαις νιφάδεσσι
by-words and opposing and by-stony by-snowflakes
βέβλημαι; τίς ἅπαντα διακριδὸν ἐξαγορεύσει;
am-I-struck who all one-by-one will-declare
Μοῦνος ἐγὼ πάντεσσιν ἀοίδιμος, οὐδ' ἐπὶ μύθοις,
Alone I to-all sung-of nor on words
οὔτ' ἐπὶ κάρτεϊ χειρὸς ἔχων περιώσιον ἄλλων,
nor on might of-hand having exceeding others
ἄλγεα δὲ στοναχάς τε περισταδὸν, ὥστε λέοντα
pains but groans both around as lion
πάντοθεν ἀμφυλάουσι κακοὶ κύνες, οἰκτρὸν ἄεισμα,
from-all-sides bark-around evil dogs pitiful song
ἀντολίῃ τε δύσει τε. Τάχ' ἄν ποτε καὶ τὸ γένοιτο,
in-east both west both Perhaps — once also this may-happen
ἤ τις ἀνὴρ θαλίῃσι λύων φρένα, ἤ τις ὁδίτης,
either some man with-feasts loosing mind or some wayfarer
ἤ τις ἐϋκρέκτῳ κιθάρῃ ἐπὶ δάκτυλα βάλλων,
or some on-well-struck lyre upon fingers casting
φθόγγοις οὐ λαλέουσιν, ἐμῶν ἀχέων ὀαριστής,
with-sounds not speaking of-my griefs talker

Γρηγορίου μνήσαιτο, τὸν ἔτρεφε Καππαδόκεσσιν
of-Gregory may-remember whom reared among-Cappadocians
ἡ Διοκαισαρέων ὀλίγη πτόλις. Ἀλλ' ἐπίμοχθον
the of-Diocaesareans small city But toilsome
ἄλλοις πλοῦτον ὄπασσας ἀπείριτον· υἱέας ἄλλοις
to-others wealth you-gave boundless sons to-others
ἐσθλούς· κάλλιμος ἄλλος, ὁ δ' ἄλκιμος, ὃς δ' ἀγορητής.
good beautiful another other but valiant other and speaker
Αὐτὰρ ἐμοὶ κλέος ἐστὶν ἐπ' ἄλγεσιν· εἰς δέ με πάντας
But to-me glory is upon pains into and me all
σῆς γλυκερῆς παλάμης πικροὺς ἐκένωσας ὀϊστούς.
of-your sweet palm bitter you-emptied arrows
Ἄλλος Ἰὼβ νέος εἰμί· τὸ δ' αἴτιον οὐκέθ' ὁμοῖον.
Another Job new I-am the but cause no-longer alike
Οὐ γὰρ ἀεθλεύσοντά μ' ἄγεις, μάκαρ, ὥς τιν' ἄριστον
Not for to-contend me you-lead blessed as some best
ἀντίον ἀθλητῆρος ἀπήνεος, ἀλκὶ πεποιθὼς,
against athlete harsh in-strength trusting
ὥς κεν ἀριστεύσαντι γέρας καὶ κῦδος ὀπάσσῃς.
that — to-the-one-excelling prize and glory you-may-grant
Οὔπω τόσσος ἔγωγ', οὐδ' ἄλγεσι κῦδος ἔπεστι.
Not-yet so-great I-for-my-part nor on-pains glory is-upon
Ποινὴν δ' ἀμπλακίης τίνω τάδε. Τίς δέ θ' ἁμαρτὰς
Penalty and of-sin I-pay these-things What and indeed sin
δίζημ' ἐν πλεόνεσσιν, ὃ σοὶ πλέον ἄχθεται ἄλλων.
I-seek among more which at-you more is-vexed than-others
Ἐξερέω πάντεσσιν, ὅ μοι νόος ἐντὸς ἔεργε·
I-will-declare to-all what to-me mind within shut
ἤ τάχα κεν δρύψειεν ἁμαρτάδα μῦθος ἄναυδος.
or perhaps — may-tear-away sin word voiceless

Ὠϊόμην, ὅτε δή σε φίλον λάχος οἷον ἐδέγμην,
I-thought when indeed you dear lot alone I-received
πάντ᾽ ἄμυδις βιότοιο ἀφυσγετὸν εἰς ἅλα ῥίψας,
all-things together of-life torrent into sea having-thrown
καὶ νόον ὑψιβιβάντα τεῇ θεότητι πελάζων,
and mind high-striding to-your godhead bringing-near
σαρκὸς νόσφιν ἔθηκα, νόμος δέ μοι ἡγεμόνευε·
of-flesh apart I-set law and to-me led
πάντων μὲν κρατέειν, πάντων δ᾽ ὕπερ αἰθέρα τέμνειν
all indeed to-master all and above sky to-cut
χρυσείαις πτερύγεσσι· τό μοι φθόνον αἰνὸν ἄγειρε,
with-golden wings which to-me envy dread gathered
καί με κακοῖς ἐπέδησεν, ἀφυκτοτάτῃσί τ᾽ ἀνίαις.
and me with-evils fettered most-inescapable and griefs
Σὸν κλέος ὑψόσ᾽ ἄειρε, κλέος δὲ σὸν ἐς χθόν᾽ ἔθηκεν.
Your glory on-high raised glory but your to earth set
Αἰὲν ἀγηνορίῃσιν, ἄναξ, κοτέεις μεγάλῃσι.
Always at-arrogance lord you-are-angry great
Κεῖνό γε μὴν ἀΐοιτε, καὶ ἐσσομένοισι γράφοιτε,
That at-least however may-you-hear and for-those-to-come may-you-write
λαοί θ᾽ ἡγεμόνες τε, ἀπεχθέες, εὐμενέες τε,
peoples and leaders both hostile kindly both
πατρὸς ἐμοῦ μεγάλοιο φίλον θρόνον οὐκ ἀθέριξα·
of-father my great dear throne not I-disdained
οὐκ ἔστ᾽, οὐδ᾽ ἐπέοικε, Θεοῦ θεσμοῖσι παλαίειν.
not it-is nor befits of-God with-ordinances to-wrestle
Κείνῳ θεσμὸς ἔδωκεν· ἐγὼ δέ τε χειρὶ γεραιῇ
To-him ordinance gave I and indeed with-hand old
χεῖρα νέην ὑπέρεισα, πατρὸς δ᾽ ὑπόειξα λιτῇσι,
hand young I-propped of-father and I-yielded to-prayers

πατρὸς ἐμοῦ, τὸν ἔτισε, καὶ ὃς μάλα τηλόθι μάνδρης
of-father my whom honored also who very far of-the-fold
ἀζόμενος πολιήν τε καὶ ἥλικα πνεύματος αἴγλην.
revering gray-hair both and peer of-spirit gleam
Αὐτὰρ ἐπεὶ ζωῆς σημάντορι καὶ τόδ' ἔαδεν
But since of-life to-the-signaller also this pleased
ἡμετέρης, ἄλλοις με Λόγον καὶ Πνεῦμ' ἀναφῆναι,
our to-others me Word and Spirit to-make-shine
ξείνοις, τρηχαλέοισιν, ἀκανθοφόροισιν ἀρούραις,
to-strangers rough thorn-bearing fields
βαιὴ μὲν ψεκάς εἰμι, πολὺν δέ τε λαὸν ἐπῆρσα.
small indeed drop I-am great and indeed people I-watered
Καὶ τόδε γ' αὖθις ἔαδε παλίμπορον ἐνθάδε πέμψαι
And this indeed again pleased back here to-send
νούσῳ τε στυγερῇ, καὶ ἀργαλέαις μελεδώναις
by-disease both hateful and grievous cares
τηχθέντ' ἐξαπίνης. Ἰὸς δέ τε ἀνδρὶ μέριμνα.
melted suddenly Poison and indeed for-man care
Βαιὸν δὲ χρόνον ἔσχον ἐμοῖς μελέεσσιν ἀρηγὼν,
Short and time I-had for-my limbs helper
ποιμενικὴν σύριγγα, βοηθόον ἐσθλὸν ὀπάσσας,
pastoral pipe helping good having-granted
μή τις ἐμοῖς μήλοισιν ἀσημάντοισιν ἐπελθὼν
lest anyone on-my sheep unshepherded having-come
ἐχθρὸς, ἑὴν πλήσειεν ἀναιδέα γαστέρα φορβῆς.
enemy his fill shameless belly with-fodder
Αὐτὰρ ἐπεὶ δονέοντο ἀγοὶ, δονέοντο δὲ λαοὶ
But since were-shaken leaders were-shaken and peoples
ἡγεμόνος τε ποθῇ, καὶ θήρεσιν οὐλομένοισιν,
of-leader both by-longing and by-beasts destructive

οἳ Θεὸν ἀνδρομέοισιν ἐνὶ σπλάγχνοισι παγέντα,
who God in-human in bowels fixed
ἔκνοον ἦτορ ἔχουσι νόου δίχα μορφώσαντες,
mindless heart having of-mind apart having-formed
πολλοὶ μὲν τρύζεσκον ἐμοῖς παθέεσσιν ἄπιστοι,
many indeed murmured at-my sufferings unbelieving
καί μ' ὑπεροπλίῃσι θεουδέα λαὸν ἀτίζειν,
and me with-arrogance God-fearing people to-dishonor
ἢ φάσαν, ἢ νόος εἶχε. Θεῷ γ' ἐμὸν ἄλγος ἔφαινον.
either said or mind held To-God indeed my pain I-showed
Πολλοὶ δ' αὖ νυχίοισιν ἐμὲ κρίνεσκον ὀνείροις,
Many and again with-nightly me judged dreams
ζωγράφος ὧν πόθος ἦεν, ἀθύρματα πολλὰ χαράσσων·
painter of-which longing was toys many engraving
ἢ Θεὸς ἐξεκάλυπτεν, ἐμοὶ τέλος ἐσθλὸν ὀπάζων,
or God revealed to-me end good granting
ὄφρα κε μὴ χαλεπῇσι σὺν ἐλπωρῇσι δαμείην,
so-that — not with-grievous with hopes I-might-be-subdued
ἐξοδίην κακότητα ἐφεσσάμενος βιότοιο.
of-departure evil having-put-on of-life
Τοὔνεκεν αὐχέν' ἔκαμψα, τεὴν δ' ὑπὸ χεῖρα κραταιὴν
Therefore neck I-bent your and under hand mighty
δέσμιος ἔρχομ' ἔγωγε· δίκη δ' ἄλλοισι μεμήλοι.
bound I-come I-for-my-part judgment and to-others may-be-a-care
Οὐδὲν ὄνειαρ ἔμοιγε δικαζομένης βιότητος.
No benefit to-me-at-least of-judged life
Τῇ νῦν, Χριστὲ, φέροις με, ὅποι φίλον. Ἄλγεσι κάμφθην.
There now Christ may-you-carry me where dear By-pains I-was-bent
Κητείαις λαγόεσσι τετρυμένος εἰμὶ προφήτης.
By-whale's flanks worn I-am prophet

Σοὶ παρέχω ζωῆς τόδε λείψανον. Ἀλλ' ἐλέαιρε
To-you I-offer of-life this remnant But pity
μικρὸν ἔτι πνείοντα. Τί μ' ἄλγεσι τόσσον ἐλαύνεις;
little still breathing Why me with-pains so-much drive
Οὔτ' ἀγαθοῖσι μόνοισι θάνες, Θεὸς, εὖτ' ἐπὶ γαῖαν
Nor for-good only you-died God when upon earth
ἦλυθες (ἦ μέγα θαῦμα, Θεὸς βροτὸς αἵματι ῥαίνων
you-came truly great wonder God mortal with-blood sprinkling
ψυχὰς ἡμετέρας καὶ σώματα), οὔτε κάκιστος
souls our and bodies nor worst
μοῦνος ἐγώ. Πολλοῖσι χερείοσι κῦδος ὄπασσας.
alone I To-many worse glory you-granted
Τρεῖς βίβλοισι τεῇσι μεγακλέες εἰσὶ τελῶναι,
Three in-books your very-famous are tax-collectors
Ματθαῖός τε μέγας, νηῷ τ' ἔνι δάκρυα λείψας,
Matthew both great in-temple and in tears having-left
Ζακχαῖός τ' ἐπὶ τοῖσιν· ὁ τέτρατος αὐτὸς ἔοιμι.
Zacchaeus and besides these the fourth myself may-I-be
Τρεῖς δ' ἄρα λυσιμελεῖς, ὅ τε λέκτριος, ὅς τ' ἐπὶ πηγῇ,
Three and then palsied one both bedridden one both at spring
ἦν τε πνεῦμ' ἐπέδησεν· ὁ τέτρατος αὐτὸς ἔοιμι.
whom and spirit fettered the fourth myself may-I-be
Τρεῖς δέ σοι ἐκ νεκύων φάος ἔδρακον, ὡς γὰρ ἄνωγας·
Three and to-you from corpses light saw as for you-bade
ἄρχοντος θυγάτηρ, χήρης πάϊς, ἐκ δὲ τάφοιο
of-ruler daughter of-widow child from and tomb
Λάζαρος ἡμιδάϊκτος· ὁ τέτρατος αὐτὸς ἔοιμι.
Lazarus half-destroyed the fourth myself may-I-be

Καὶ νῦν φάρμακ᾽ ἔχοιμ᾽ ὀδυνήφατα, καὶ μετέπειτα
And now remedies may-I-have pain-slaying and afterward
ζωὴν ἄτροπον, ἐσθλὲ, τεῷ μέγα κύδεϊ γαίων. 100
life unchanging good-one in-your great glory exulting
Ποίμνης ἡγεμόνευσα θεόφρονος. Εἰ δὲ λυθείην,
Flock I-led God-minded If but I-be-loosed
ποιμένος οἵδε τύχοιεν ἀρείονος· εἰ δ᾽ ἄρ᾽ ὁμοίου,
shepherd these may-obtain better if but then like
ἥσσονος ἐν παθέεσσι, μακάρτατε· οὐ γὰρ ἔοικε
worse in sufferings most-blessed not for befits
τὸν νούσων ἐλατῆρα κακοῖς ἀχέεσσι παλαίειν.
the of-diseases driver with-evil griefs to-wrestle

ΜΕ′. Θρῆνος περὶ τῶν τῆς αὐτοῦ ψυχῆς παθῶν

POEM II.1.45, 1–174 · A LAMENT FOR HIS SOUL

No grief for children, parents, or a burned homeland matches his for his soul, God's image, made to rise to heaven through Christ, who took a servant's form to free it. But he has not kept the mysteries: clay weighs him down, his tongue and eyes betray him, and he is neither mind nor dust but a war of both. Two laws contend in him, one following Christ toward light, one Belial into darkness; the Spirit aids the mind, yet the flesh rages, drawn to the tree that brought death. He fasts, weeps, and lives alone among crags while others feast, and recounts the harsher disciplines of other ascetics; yet the flesh is never tamed.

Δύσμορος οἷα πάθον; τίς μοι γόος ἄξιος ἔσται;
Ill-fated what-things I-suffered what to-me lament worthy will-be
Τίς πηγὴ δακρύων ἄρκιος; οἷα μέλη;
What spring of-tears sufficient what songs
Οὔτε μόρον παίδων τις ἑῶν ἐκλαύσατο τόσσον,
Neither doom of-children anyone his-own wept so-much

ἢ κεδνῶν τοκέων, ἠὲ φίλης ἀλόχου,
or of-worthy of-parents or of-dear of-wife
οὐ πάτρην γλυκερὴν μαλερῷ πυρὶ τεφρωθεῖσαν,
not fatherland sweet by-fierce by-fire reduced-to-ash
οὐ νούσῳ στυγερῇ ἄψεα τειρόμενα,
not by-disease hateful limbs worn
ὅσσον ἐγὼ ψυχὴν ὀλοφύρομαι αἰνὰ παθοῦσαν,
as-much-as I soul lament dread-things having-suffered
(φεῦ τάλας!) ὀλλυμένης εἰκόνος οὐρανίης.
alas wretch of-perishing of-image heavenly
Ναὶ γὰρ δὴ μεγάλοιο Θεοῦ καὶ πλάσμα, καὶ εἰκὼν,
Yes for indeed of-great God both molded-thing and image
ἄνθρωπος, Θεόθεν εἰς Θεὸν ἐρχόμενος·
man from-God to God going
ὅστις ἄνω νεύσας, καὶ πνεύματι σάρκα πεδήσας,
who upward having-inclined and by-spirit flesh having-fettered
Χριστὸν ἔχει ζωῆς ἵλαον ἡγεμόνα·
Christ has of-life propitious leader
κτῆσιν ἑὴν, γλῶσσάν τε καὶ οὔατα, καὶ νόον αὐτὸν,
possession his-own tongue both and ears and mind itself
καὶ σθένος, ἐρχομένῳ πάντα διδοὺς βιότῳ,
and might to-coming all giving to-life
ἁρπάζων κόσμου πολυχανδέος, ὅσσα κατεῖχεν
snatching of-world capacious as-much-as held
ἅρπαξ ἀλλοτρίων, ἀντίθεος Βελίας,
robber of-others' god-opposing Belial
ἐς δὲ ταμεῖα φέρων πολὺ φέρτερα τῶν ἐπὶ γαίης,
into and storehouses bearing much better than-the(-things) upon earth
τῶν διακλεπτομένων, ἢ καταλυομένων,
the(-things) being-stolen or being-destroyed

αὐτὸν ἀθρῆσαι ἄνακτα Θεὸν, καὶ πνεῦμα γενέσθαι,
himself to-behold lord God and spirit to-become
σάρκ᾽ ἀποδυσάμενος καὶ πάχος ἀντίτυπον,
flesh having-stripped-off and thickness resistant
ἀγγελικοῦ τε χοροῖο λαχεῖν στάσιν αἰγλήεντος
angelic and of-chorus to-obtain station radiant
μεῖζον τῶν μεγάλων ἄθλον ἔχων καμάτων·
greater than-the great prize having of-labors
μηκέθ᾽ ὁρῶν σκηνῆς ἐλαφρὸν τύπον, ὡς τοπάροιθεν,
no-longer seeing of-tabernacle light type as formerly
μηδὲ νόμου γραπτὴν εἰκόνα λυομένην,
nor of-law written image being-loosed
αὐτὴν δ᾽ ἀτρεκίην καθαροῦ νοὸς ὄμματι λεύσσων,
itself but truth of-pure of-mind with-eye looking
μέλπων τ᾽ ἐκ στομάτων ἦχον ἑορτάσιον.
singing and from mouths sound festal
Τοῦτο τέλος βροτέης ζωῆς πέλει. Ἐς τόδ᾽ ἀνέλκει
This end of-mortal of-life is To this draws-up
τῶν Χριστοῦ παθέων ὕβρις ἐπιχθονίους,
the of-Christ of-sufferings outrage those-on-earth
ὃς δούλου μορφὴν ἀνεδέξατο, καὶ θανάτοιο
who of-servant form took-up and of-death
γεύσατο, καὶ ζωῆς δεύτερον ἠντίασεν,
tasted and life second met
ὢν Θεὸς, ὢν ζωῆς ταμίης, αἰῶνος ὕπερθεν,
being God being of-life steward of-age above
εἰκὼν ἀθανάτου πάντοτε Πατρὸς ὅλη,
image of-deathless always of-Father whole
ὄφρα με δουλοσύνης τε λύσῃ, θανάτοιό τε δεσμῶν,
so-that me of-slavery both may-loose of-death and bonds

κρείσσονα πρὸς ζωὴν ἔμπαλιν ἐρχόμενον.
better to life back coming

Ἀλλ' ἐγὼ οὐκ ἐφύλαξα Θεοῦ μυστήρια κεδνὰ,
But I not guarded of-God mysteries worthy

μύστιν ἔχων ψυχὴν οὐρανίης ἀνόδου,
initiate having soul of-heavenly ascent

ἀλλὰ κάτω βρίθει με χοὸς πάχος, οὐδ' ἐδυνάσθην
but down weighs me of-dust thickness nor was-I-able

ἰλύος ἐξαναδὺς, ἐς φάος ὄμμα βαλεῖν.
from-mire having-emerged to light eye to-cast

Ναὶ βάλον· ἀλλὰ μέσον νέφος ἵστατο ὄσσε καλύπτον
Yes I-cast but in-the-middle cloud stood eyes covering

σὰρξ ἐπανισταμένη πνεύματι σὺν χθονίῳ.
flesh rising-up-against spirit with earthly

Πολλὰ μὲν ἐν κραδίῃ μελεδήματα ἔνθα καὶ ἔνθα
Many indeed in heart cares here and there

στρωφᾶται, κενεὰ πλαζομένοιο νόου,
whirl empty of-wandering of-mind

Χριστὸν ἑκὰς βάλλοντα, Θεὸν Λόγον (οὐ δέχεται γὰρ
Christ far casting God Word not admits for

μίγνυσθαι ψυχῇ νυμφίος ἀλλοτρίῃ)·
to-be-mingled with-soul bridegroom of-another

πολλὰ δ' ἐπὶ γλώσσῃ κέαται κακὰ φάρμακ' ὀλέθρου.
many and on tongue lie evil drugs of-destruction

Γλῶσσα γὰρ ἀνθρώποις ἥμισυ τῆς κακίης,
Tongue for for-men half of-the vice

θυμὸν ἐρευγομένη, γυμνὸν κακὸν, ὅς τε μάλιστα
wrath belching naked evil which — most

λάβρος ἐπιζείων, ἐκ νοὸς ἄνδρα φέρει,
violently boiling-up from mind man bears

ἢ δολερὸν κεύθουσα ἐνὶ στήθεσσι νόημα,
or crafty hiding in breasts thought
λεῖα δ' ἄρ' ἐξ ἁπαλοῦ φθεγγομένη στόματος.
smooth-things and then from tender speaking mouth
Εἴθε δὲ ἦν τι θύρετρον ἐπ' ὀφθαλμοῖσιν ἐμοῖσιν,
Would-that and there-were some door upon eyes my
οὔασί τ' οὐκ ἀγαθῶς πάντοσε πεπταμένοις,
to-ears and not well everywhere spread-open
ὡς τὸ μὲν ἐσθλὸν ὁρᾶν τε καὶ εἰσαΐοντα δέχεσθαι,
that the indeed good to-see both and hearing to-receive
κλείεσθαι δὲ κακοῖς ἀμφότερ' αὐτομάτως.
to-be-shut but to-evils both automatically
Χειρῶν τ' ἔργον ἄριστον ἐς οὐρανὸν αἰὲν ἀείρειν
Of-hands and work best to heaven always to-raise
ἁγνὰς, καὶ παρέχειν οὐρανίοισι νόμοις.
pure and to-present to-heavenly laws
Ὡς δὲ ποδῶν ἰέναι λείην ὁδὸν, οὐκ ἐπ' ἀκάνθας,
As and of-feet to-go smooth road not upon thorns
οὐδὲ κατὰ σκοπέλων, καὶ τρίβον οὐχ ὁσίην.
nor down crags and path not holy
Νῦν δὲ Θεὸς μὲν ἔδωκεν ἅπαν μέλος ἐσθλὸν ἐπ' ἐσθλοῖς,
Now but God indeed gave every limb good for good-things
εὕρατο δ' ἡ κακίη ὅπλον ἐμοὶ θανάτου.
found and the vice weapon for-me of-death
Τίς νόμος οὗτος ἐμοί; πῶς δέσμιός εἰμ' ἐπὶ γαίης
What law this to-me how bound am-I upon earth
σαρκός; πῶς δ' ἐλαφρῷ πνεύματι σῶμα μίγη,
of-flesh how and with-light with-spirit body was-mingled

οὔθ' ὅλος εἰμὶ νόος, καθαρὴ φύσις, οὔτε χερείων
neither whole am-I mind pure nature nor worse
χοῦς ὅλος, ἐκ δ' ἀμφοῖν ἄλλο τι κἀμφότερον.
dust whole from and both other something and-both
Τοὔνεκα καὶ πολέμοιο φέρω κλόνον αἰὲν ἄπαυστον,
Therefore also of-war I-bear tumult always unceasing
σαρκὸς καὶ ψυχῆς ἀντικαθεζομένων.
of-flesh and of-soul sitting-against-each-other
Εἰκών εἰμι Θεοῖο, καὶ ἕλκομαι ἐς κακότητα.
Image I-am of-God and I-am-drawn to wickedness
Κρείσσονι μαρναμένου χείρονος οὐχ ὁσίως·
To-the-better fighting of-the-worse not holily
ἢ φεύγω κακότητα, καὶ ἵσταμαι, οὐκ ἀμογητὶ,
or I-flee wickedness and I-stand not without-toil
πολλὰ διαθλήσας χειρὶ σὺν οὐρανίῃ.
many-things having-contended hand with heavenly
Ἔστι γὰρ, ἔστιν ἐμοὶ διπλοῦς νόμος· ὧν ὁ μὲν ἐσθλὸς,
There-is for there-is to-me double law of-which the(-one) indeed good
ἑσπόμενός τε καλῷ· αὐτὰρ ὁ χειρότερος,
following and the-good but the worse
ἑσπόμενός τε κακοῖσιν· ὁ μὲν νόος ἐστὶν ἕτοιμος
following and evils the(-one) indeed mind is ready
πείθεσθαι Χριστῷ, πρὸς φάος ἐρχόμενος·
to-obey Christ to light coming
ἄλλος δ' αὖ σαρκός τε καὶ αἵματος, ἔστι δὲ πρόφρων
other and again of-flesh both and of-blood is and eager
δέχνυσθαι Βελίαν, πρὸς ζόφον ἑλκόμενος.
to-receive Belial to darkness being-drawn
Ἤτοι ὁ μὲν χθονίοισιν ἰαίνεται, ὥσπερ ἐπ' ἐσθλοῖς,
Truly the(-one) indeed by-earthly-things is-warmed as at good-things

τοῖς οὐχ ἱσταμένοις, ἀλλὰ παριπταμένοις.
the not standing but flying-past

Καὶ φιλέει κώμους τε καὶ ἔχθεα, καὶ κόρον αἰνὸν,
And loves revels both and enmities and surfeit dread

ἔργων τε σκοτίων αἴσχεα, κερδοσύνας.
of-works and dark shames gains

Εὐρείην δ' ὁδὸν εἶσιν, ἑῷ δ' ἐπιτέρπετ' ὀλέθρῳ,
Broad and road goes his-own and delights-in destruction

ἀφροσύνης δνοφερὴν ἀχλὺν ἐφεσσάμενος.
of-folly dark mist having-put-on

Αὐτὰρ ὅγ' οὐρανίοισιν ἀγάλλεται, ὡς παρεοῦσι
But he in-heavenly-things exults as present

τοῖς ἐλπιζομένοις, καὶ Θεὸν οἷον ἔχει
the hoped-for and God alone has

ἐλπωρὴν βιότοιο· τὰ δ' ἐνθάδε καπνὸν ἄτιμον,
hope of-life the(-things) but here smoke dishonored

ἄλλοθ' ὑπ' ἀλλοίῃ κείμενα συντυχίῃ.
at-other-times under other lying fortune

Καὶ φιλέει πενίην τε καὶ ἄχθεα, καὶ μελεδῶνας
And loves poverty both and burdens and cares

ἐσθλὰς, καὶ στεινὴν εἶσιν ὁδὸν βιότου.
good and narrow goes road of-life

Μαρναμένοισι δὲ τοῖσιν ἐπίσκοπον ἦλθεν ἄνωθεν
To-fighting and to-these overseer came from-above

Πνεῦμα Θεοῦ μεγάλου, καὶ νοῖ δῶκε χέρα,
Spirit of-God great and to-mind gave hand

σώματος ἀργαλέοιο λύον κλόνον, ἠδὲ κελαινῶν
of-body grievous loosing tumult and dark

εὐνάζον παθέων οἶδμ' ἐπανιστάμενον.
lulling of-passions swell rising-up

Ἡ δὲ καὶ ὣς λυσσῆεν ἔχει μένος, οὐδ' ἀπολήγει
The but even so raging has might nor ceases
σὰρξ πολέμου, κλίνει δ' ἔνθα καὶ ἔνθα μάχη.
flesh from-war bends and here and there battle
Ἄλλοτε μέν τε νόῳ χοῦς δάμναται· ἄλλοτε δ' αὖτε
At-times indeed — by-mind dust is-subdued at-times and again
σαρκὶ νόος κρατερῇ ἕσπεται οὐκ ἐθέλων.
flesh mind mighty follows not wishing
Ἀλλὰ τὸ μὲν ποθέει, τό γε βέλτερον· ὃ στυγέει δὲ,
But the(-one) indeed it-longs-for the indeed better what it-hates and
ἔρδων, δουλοσύνην μύρεται ἀργαλέην,
doing slavery laments grievous
πατρός τ' ἀρχεγόνοιο πλάνην, καὶ μητρὸς ἀλιτρὴν
of-father and primal wandering and of-mother sinful
πάρφασιν, ἡμετέρης μητέρα μαργοσύνης,
beguiling of-our mother of-lust
καὶ σκολιοῖο δράκοντος ἀτάσθαλον αἱμοβόροιο
and of-crooked of-dragon reckless of-blood-devouring
ψεῦδος, ὃς ἀνθρώπων τέρπεται ἀμπλακίαις.
lie who of-men delights-in sins
Καὶ ξύλον, ἠδὲ φυτοῖο βροτῶν δηλήμονα καρπὸν,
And tree and of-plant of-mortals harmful fruit
γεῦσίν τ' οὐλομένην, καὶ θανάτοιο πύλας,
taste and destructive and of-death gates
γύμνωσιν μελέων τε παναίσχεα, καὶ παραδείσου
stripping of-limbs both all-shameful and of-paradise
ἠδὲ φυτοῦ ζωῆς ῥίψιν ἀτιμοτάτην.
and of-tree of-life casting-out most-dishonored

Ταῦτα νόος κάμνων ὀλοφύρεται. Ἡ δέ νύ μοι σὰρξ
These-things mind toiling laments The but now to-me flesh
δέρκεται ἐς προγόνους, καὶ φυτὸν ἀνδροφόνον,
looks to forefathers and plant man-slaying
πᾶσάν τε γλυκερὴν ἀσπάζεται αἰὲν ἐδωδὴν,
all both sweet embraces always food
ἣν ὀλοὸς σαίνων δείκνυσι πικρὸς ὄφις.
which deadly fawning shows bitter snake
Ἦ μὲν καὶ γοάω, καὶ εὐχωλῇσιν ἄνακτα,
Truly indeed both I-wail and with-prayers lord
ὃς πάντων κρατέει, καὶ ζυγὰ πᾶσι φέρει,
who all rules and yokes to-all bears
λίσσομ᾽ ὑπὲρ ψυχῆς καὶ σώματος, ἀμφοτέροισιν
I-beg for soul and body for-both
εὐμενέως δικάσαι, καὶ πόλεμον σκεδάσαι,
kindly to-judge and war to-scatter
κρείσσονι, ᾗ θέμις ἐστὶν, ὑποκλίναντα χέρειον·
to-the-better as right is having-subjected the-worse
τοῦτο γὰρ οὐκ ὀλίγῳ λώϊον ἀμφοτέροις·
this for not by-little better for-both
μὴ χοῒ βριθομένην ψυχὴν ἐπὶ γαῖαν ὁδεύειν,
not by-dust weighed-down soul to earth to-journey
ὥστε μολυβδαίνην ἐς βυθὸν ἑλκομένην,
as lead-weight to depth being-drawn
πνεύματι δὲ πτερόεντι καὶ εἰκόνι χοῦν ὑποεῖξαι,
to-spirit but winged and to-image dust to-yield
ὡς κηροῖο πυρὶ τηκομένης κακίης.
as of-wax by-fire melting vice

Τοιάδε λισσόμενος καὶ φάρμακα σαρκὶ παχείῃ
Such-things begging and remedies for-flesh thick
πολλὰ φέρω, χαλεπὴν νοῦσον ἄφαρ σκεδάω.
many I-bring grievous disease at-once I-scatter
Καὶ μένος, οἷά τε θηρὸς ἀπιστοτάτοιο, κραταιοῖς
And might as — of-beast most-faithless with-mighty
δεσμοῖσιν κατέχω, οἶδμα κακὸν τρομέων.
bonds I-restrain swell evil trembling-at
Γαστέρι κλεῖθρα τίθημι, δυσαλθεῖ θυμὸν ἀνίῃ
On-belly bars I-set hard-to-heal heart with-grief
δάπτω, καὶ δακρύων ἐκπροχέω λιβάδας.
I-devour and of-tears I-pour-forth streams
Κάμπτω γούνατ' Ἄνακτι τετρυμμένα, νύκτας ἀΰπνους
I-bend knees to-the-Lord worn nights sleepless
ἕλκω, καὶ ῥυπόω πένθιμον ἕσθος ἔχων.
I-draw-out and am-filthy mournful garment having
Ἄλλων εἰλαπίναι τε, χοροστασίαι τε, γέλως τε,
Of-others feasts both dances both laughter both
καὶ κῶμοι, χλοερῆς παίγνιά θ' ἡλικίης.
and revels of-green games and of-youth
Ἄλλοι δ' αὖτ' ἀλόχοις τε καὶ υἱέεσσι γάνυνται,
Others and again in-wives both and sons rejoice
καὶ πλούτου κρατεροῦ κύδεϊ λυομένῳ.
and of-wealth mighty in-glory being-loosed
Ἄλλοι δ' αὖτ' ἀγοραῖς τε καὶ ἄλσεσιν, ἠδὲ λοετροῖς
Others and again in-marketplaces both and groves and baths
τέρπονται, καὶ πνεῖν ἐν πολίεσσι μέγα,
delight and to-breathe in cities great

εὐφήμοις τε λόγοισι καὶ ἑσπομένων ὀρυγμαδῶν
with-well-omened both words and of-following din
πεμπόμενοι, σοβαροί θ' ὑψόθεν ἐκ σανίδων.
escorted haughty and from-on-high from platforms
Πολλαὶ γὰρ θνητοῖσι πολυσχιδέος βιότοιο
Many for for-mortals of-many-branched of-life
τέρψιες· ἐν δὲ κακοῖς κέκραται εὐφροσύνη.
delights in and evils is-mixed gladness
Αὐτὰρ ἐγὼ τέθνηκα βίῳ, βαιὸν δ' ἐπὶ γαίης
But I am-dead to-life little and upon earth
ἆσθμα φέρω· φεύγω δ' ἄστεα καὶ μέροπας.
breath I-bear I-flee and cities and mortals
Θήρεσι καὶ σκοπέλοισιν ὁμιλῶν, οἷος ἀπ' ἄλλων
With-beasts and crags consorting alone apart-from others
ναιετάω λυπρὴν ῥωγάδα καὶ σχέδιον·
I-dwell-in miserable cleft and makeshift
οἰοχίτων, ἀπέδιλος, ἀνέστιος, ἐλπίδι μούνῃ
single-tunicked unshod hearthless with-hope alone
ζώων, καὶ λώβη πᾶσι πέλω χθονίοις.
living and outrage to-all I-am on-earth
Εὐνή μοι στιβάς ἐστι, τὰ ῥήγεα σάκκος ἐρυμνὸς,
Bed to-me litter is the coverings sackcloth stout
καὶ κόνις ἐν δαπέδῳ δάκρυσι δευομένη.
and dust on floor with-tears wetted
Πολλοὶ μὲν στενάχουσι σιδηρείοις ὑπὸ δεσμοῖς·
Many indeed groan iron under bonds
ἄλλους δ' αὖ τέφρην πυνθάνομ' εἶδαρ ἔχειν·
others and again ash I-learn food to-have
τοὺς δὲ ποτὸν δακρύοισι μεμιγμένον ἀλγινόεσσιν·
others and drink with-tears mixed painful

ἄλλους χειμερίαις βαλλομένους νιφάσι,
others by-wintry being-struck by-snowfalls
νύκτας τεσσαράκοντα καὶ ἤματα, δένδρεσιν ἶσα
nights forty and days to-trees equal
ἑστάμεναι, κραδίῃ γῆς ἀπανισταμένους.
to-stand in-heart from-earth rising
Καὶ Θεὸν οἷον ἔχοντας ἐνὶ φρεσίν· ἄλλος ἔδησε
And God alone having in minds another bound
χείλεα, καὶ γλώσσῃ θῆκε χαλινὰ φέρων.
lips and on-tongue set bridles bearing
Οὐ μὴν πάντα χαλινὰ, ὕμνοις δ' ἀνέηκε μόνοισιν
Not however all bridles to-hymns but let-loose alone
ἔμπνοον ὡς κιθάρην πνεύματι κρουομένην.
ensouled as lyre by-spirit struck
Καὶ Χριστῷ κεφαλήν τις ἑὴν ἀνέθηκε, φυλάσσων,
And to-Christ head someone his-own dedicated guarding
εὐχῆς εὐαγέος εἵνεκ', ἀκερσεκόμην.
of-vow holy for-the-sake-of unshorn
Ὄμματα δ' ἄλλος ἔπηξε, καὶ οὔασι θῆκε θύρετρα,
Eyes and another fixed and to-ears set doors
μή τι λάθῃ πέμψας κέντρον ἔσω θανάτου.
lest something escape-notice having-sent goad within of-death
Τοῖα μὲν ἐξ ἐμέθεν χοΐ φάρμακα δυσμενέοντι,
Such-things indeed from me for-dust remedies being-hostile
ἤδη καὶ πολιὴ ἄλκαρ ἐμῶν παθέων.
already also gray-hair defense of-my sufferings
Πολλαὶ δ' οὐκ ἐθέλοντα καταιγίδες ἀπροτίοπτοι
Many but not wishing storms unforeseen
στρωφῶσιν, χαλεποῖς ἄλγεσι τειρόμενον.
whirl by-grievous by-pains worn

Αὐτὰρ ὁ οὔτε λόγοις ἐπιπείθεται, οὔτε μόγοισι
But he neither by-words is-persuaded nor by-toils
δάμναται, οὔτε χρόνῳ κάμπτεται ὀκρυόεις·
is-subdued nor by-time is-bent chilling
ἀλλ᾽ αἰεὶ ζωῆς κατεναντίον ὄμμασι τυφλοῖς
but always of-life opposite with-eyes blind
σπεύδει, καὶ κρημνοὺς, ὡς λεγεὼν, ποθέει.
hastens and cliffs as legion longs-for
Εἰ δέ τί που καὶ βαιὸν ὑποείξειε Θεοῖο
If but anything somewhere even little he-should-yield of-God
δείμασιν, ἠὲ πόνοις, ἢ Θεόθεν λογίοις,
to-terrors or to-toils or from-God to-oracles
ὥστε φυτὸν παλάμῃσι μεθελκόμενον κομέοντος,
as plant by-palms drawn-aside of-the-tender
γυροῦται προτέρην ἔμπαλιν ἐς κακίην.
is-bent former back to vice
Ὦ μέλεοι, θανάτοιο βροτῶν γένος! Ὡς ῥα κακοῖσι
O wretched of-death of-mortals race How indeed with-evils
δαπτόμενοι, μανίῃ τερπόμεθ᾽ ἡμετέρῃ.
being-devoured by-madness we-delight our

God's gifts are greater than words, and his ways are hidden. His parents, honored by all, shaped Gregory's young mind as a basket shapes a cheese. As a boy he dreamed of two maidens in white, unadorned, veiled, and silent, who called themselves Purity and Sobriety, kissed him as a son, and bade him join them before the Trinity; the dream kindled a lasting love of virginity. He left marriage, the hunt, and fine clothes for a sober life. He prays the Trinity to keep him from the enemy, who hates mankind, fell from heaven through pride, and turns himself into an angel of light, and to bring his old age into the harbor of the kingdom.

Οὔτε λόγον τίοντες, ὃν ἔνδοθι γινομένοισι
Neither word honoring which within for-those-being-born

θῆκε Θεὸς, ζωῆς σπέρμα χαριζόμενος·
set God of-life seed bestowing

οὔτε νόμον τρομέοντες, ὃν ἔν ποτε λαϊνέῃσι
nor law trembling-at which on once stone

γράμματι ἀτρεκίην Χριστὸς ὑποσκιάων
in-letter truth Christ foreshadowing

πλαξὶν ἄναξ ἐχάραξε, καὶ ὕστατον ἐν κραδίῃσιν
on-tablets lord engraved and last in hearts

ἡμετέραις, αἴγλῃ Πνεύματος εὐαγέος·
our by-gleam of-Spirit holy

καὶ Χριστοῦ παθέεσσιν ἐναντία μητιόωντες,
and of-Christ to-sufferings opposite-things devising

οἷσίν μ' ἐκ παθέων εἵλκυσεν ἀργαλέων,
by-which me from sufferings he-drew grievous

σάρκα λαβὼν, σταυρῷ τε παγεὶς, πήξας τε μέλαιναν
flesh having-taken on-cross and fixed having-fixed and black

πλάσματος ἀμπλακίην, καὶ Βελίαο κράτος,
of-molding sin and of-Belial power

ὄφρα παλιγγενέες τε καὶ ἐκ τύμβοιο θορόντες,
so-that born-again both and from tomb having-leapt

Χριστῷ σὺν μεγάλῳ κῦδος ἔχωμεν ἄνω.
Christ with great glory we-may-have above

Πολλὰ μὲν δὴ πᾶσιν ἐπιχθονίοισι Θεοῖο
Many indeed indeed to-all on-earth of-God

δῶρα, τὰ καὶ γλώσσης κρείττονα ἡμετέρης.
gifts which also than-tongue better our

Καὶ γάρ με πληγῇσιν ἀτασθαλέοντα δαμάζων,
And for me with-blows being-reckless taming

ἕλκει πρὸς ζωὴν, καὶ φίλα μητιόων.
he-draws to life and dear-things devising

Πάντα γὰρ εὐμενέοντι νόῳ μερόπεσσι κυβερνᾷ,
All for with-kindly mind for-mortals he-steers

εἰ καὶ κρυπτὸν ἑῆς βένθος ἔχει σοφίης,
if even hidden of-his-own depth has of-wisdom

καὶ πολὺς ἡμετέρης γενεῆς ζόφος ἠδὲ Θεοῖο
and much of-our of-race darkness and of-God

ἵσταται ἐν μεσάτῳ, ὃν περόωσ' ὀλίγοι
stands in middle which cross few

ὄμμασιν ὀξυτάτοισι διαυγέες ἐκ βιότοιο,
with-eyes sharpest translucent from life

καὶ καθαροὶ καθαρῆς ἁπτόμενοι σοφίης.
and pure of-pure touching of-wisdom

Αὐτὰρ ἐμοὶ Χριστὸς περιώσιον εὖχος ὀπάζων,
But to-me Christ exceeding boast granting

πρῶτα μὲν εὐξαμένῃ νειόθεν ἐκ κραδίης
first indeed having-prayed from-the-bottom from heart

μητέρι δῶρον ἔδωκε, καὶ ἐκ τοκέων ὑπέδεκτο
to-mother gift gave and from parents received

δῶρον, ἐπεὶ τέκνου φέρτερον οὐδὲν ἔχον
gift since than-child better nothing they-had
ἐν πᾶσι κτεάτεσσιν· ἔπειτα δὲ θεῖον ἔρωτα
among all possessions then and divine love
φάσμασιν ἐννυχίοις σώφρονος ἧκε βίου.
by-visions nightly of-sober sent of-life
Εἰ δ' ἄγε, νῦν ἀΐοιτε, θεόφρονες· οἱ δὲ βέβηλοι
— and come now may-you-hear godly-minded the(-ones) and profane
ψυχὰς, ὑμετέροις οὔασι θέσθε θύρας.
in-souls your to-ears set doors
Παῖς μὲν ἔην ἁταλὸς, παῖς οὐ μάλα, ἡνίκα δὲ φρὴν
Child indeed I-was tender child not very when and mind
ἐσθλῶν ἠδὲ κακῶν εἰκόνος ἐγγράφεται,
of-good and of-evil of-image is-inscribed
οὔπω μὲν στερεοῖσι νοήμασιν εἶδος ἔχουσα,
not-yet indeed with-solid with-thoughts form having
ἤθεσι δ' ἀλλοτρίοις πρῶτα χαρασσομένη,
with-ways and of-others first being-engraved
αὐτὰρ ἐμοὶ τοκέες νόον ἔγραφον οὔτι κακοῖσι
but on-me parents mind wrote not-at-all with-evil
χρώμασι, τῆς δ' ἀρετῆς ἐσθλὰ διδασκομένῳ.
with-colors of-the and of-virtue good-things being-taught
Καὶ γὰρ δὴ πάντεσσιν ἐπιχθονίοισιν ἀγητοὶ
And for indeed to-all on-earth admired
ἔσκον, ἐπ' εὐσεβίῃ θυμὸν ἔχοντες ἕνα,
they-were upon piety heart having one
ἶσον ὁμοῦ πολιῇ τε καὶ ἤθεσι κυδαλίμοισιν,
equal together in-gray-hair both and in-ways glorious
ἀνδρομέης ζωῆς, ὄλβιοι, εὐσθενέες,
of-human of-life blessed strong

μέτρα παρατροχάοντες. Ὁ μέν ποτε τηλόθι μάνδρης
measures outrunning He indeed once far of-fold

ἑστηὼς μεγάλης, ἧς μέγα νῦν κρατέει
standing great which greatly now he-rules

οὐκ ὄϊς, εἶτ' ὀΐων προφερέστατος, ἐξ ὀΐων τε
not sheep then of-sheep most-excellent from sheep and

ποιμὴν, νῦν δὲ πατὴρ, καὶ νομέων νομέας.
shepherd now and father and of-herdsmen herdsman

Οὔτι μὲν ἐς πολύκαρπον ἀλωὴν ὄρθριος ἐλθὼν,
Not-at-all indeed into fruitful orchard early having-come

πουλὺ δ' ἀποκρύψας τοὺς προτέρους καμάτῳ.
much but having-hidden the former by-toil

Ἡ δ' ἱερῶν τοκέων ἱερὸν φυτὸν, εὐαγέος τε
She and of-holy of-parents holy plant of-holy and

ῥίζης, καὶ πτόρθων μητέρος εὐαγέων,
of-root and of-shoots of-mother holy

οὐδὲν ἀτιμοτέρη προτέρων, αἳ Χριστὸν ἄνακτα
in-nothing more-dishonored than-the-former who Christ lord

δέξαντ', ἠδὲ τάφου λεῦσσαν ἀνεγρόμενον·
received and from-tomb saw rising

βαιὸν μὲν πνείοντες ἐπὶ χθονὶ σαρκὸς ἀνάγκῃ,
little indeed breathing upon earth of-flesh by-necessity

πλείονα δὲ ζωῆς μοῖραν ἔχοντες ἄνω.
greater but of-life portion having above

Τοῖς μὲν ἐγὼν ἀπαλὴν πλάσθην φρένα, καὶ νεόπηκτος
By-these indeed I tender was-molded in-mind and newly-set

οἷα τυρὸς, ταλάρου λάμβανον αἶψα τύπον.
as cheese of-basket received quickly impression

Καί ποτέ μοι κνώσσοντι παρίστατο τοῖος ὄνειρος,
And once to-me sleeping stood-by such dream

ἕλκων ῥηϊδίως ἐς πόθον ἀφθορίης.
drawing easily to longing of-incorruption

Δοιαί μοι δοκέεσκον ἐν εἵμασιν ἀργυρέοισι,
Two to-me seemed in garments silver

στράπτειν παρθενικαὶ πλησίον ἱστάμεναι,
to-flash maidens near standing

ἄμφω μὲν καλαί, καὶ ὁμήλικες· ἀμφοτέραις δὲ
both indeed beautiful and of-the-same-age for-both and

κόσμος ἀκοσμίη, κάλλος ὅ θηλυτέραις.
adornment unadornment beauty which for-women

Οὐ χρυσὸς δειρὴν κατεκόσμεεν, οὐδ' ὑάκινθος,
Not gold neck adorned nor hyacinth

οὐδ' εἶχον σηρῶν νήματα λεπταλέα,
nor had-they of-silkworms threads fine

οὐδὲ λίνου μαλακοῖο περιῤῥεθέεσσι χιτῶνας,
nor of-flax soft flowing-around tunics

οὐ γραπτοῖς βλεφάροις ὄμμ' ὑπολαμπόμενον,
not with-painted eyelids eye shining-beneath

οὐδ' ὅσα τεχνήεντες ἐπ' εἴδεσι θηλυτεράων
nor as-many-as artful upon forms of-women

ἄνδρες ἐμήσαντο φάρμακα μαχλοσύνης·
men devised drugs of-lewdness

οὐ ξανθαὶ πλοκαμῖδες ὑπὲρ νώτοιο χυθεῖσαι
not blond tresses over back poured

παῖζον ἅμα πνοιαῖς εὐκραέων ἀνέμων.
played together-with breaths of-well-tempered winds

Ζώνῃ μὲν τῇσίν γε καλὸς ἐσφίγγετο πέπλος,
With-girdle indeed for-them indeed beautiful was-bound robe

ἄχρι καὶ ἀστραγάλων ἐς πόδας ἑλκόμενος·
as-far-as even ankles to feet drawn

κρηδέμνῳ δ᾽ ἐφύπερθε καρήατα ἠδὲ παρειὰς
with-veil and above heads and cheeks

κρυψάμεναι, κατὰ γῆς ἑσταότ᾽ ὄμματ᾽ ἔχον.
having-hidden down earth standing eyes they-had

Αἰδόος ἀμφοτέρῃσιν ἐπέπρεπε καλὸν ἔρευθος,
Of-modesty on-both was-conspicuous beautiful blush

ὅσσον ἐϋννήτων φαίνεθ᾽ ὑπ᾽ ἐκ φαρέων.
as-much-as of-well-spun appeared under from robes

Σιγῇ δ᾽ ἀμφοτέρῃσι μεμυκότα χείλεα κεῖτο,
In-silence and on-both shut lips lay

οἷόν τε δροσεραῖς ἐν καλύκεσσι ῥόδον.
as — in-dewy in buds rose

Τὰς μὲν ἐγὼν ὁρόων, μέγ᾽ ἐγήθεον. Ἦ γὰρ ἔφασκον
Them indeed I seeing greatly rejoiced Truly for I-said

κρείσσονας ἡμερίων ἔμμεναι οὐκ ὀλίγον.
greater than-mortals to-be not little

Αἱ δέ με καὶ φιλέεσκον, ἐπεί σφισι θυμὸν ἰάνθην,
They and me also kissed since to-them heart I-was-warmed

χείλεσιν, υἷα φίλον ὡς ἀγαπαζόμεναι·
with-lips son dear as cherishing

καί μοι εἰρομένῳ τίνες ἢ πόθεν εἰσὶ γυναῖκες,
and to-me asking who or from-where are women

ἡ μὲν ἁγνείαν ἔφη, ἡ δὲ σαοφροσύνην,
the(-one) indeed purity said the(-other) and sobriety

αἳ Χριστῷ βασιλῆϊ παρασταδὸν ἑστηκυῖαι,
who to-Christ king beside standing

κάλλεσιν οὐρανίων τερπόμεθ᾽ ἀζυγέων.
in-beauties of-heavenly we-delight of-unyoked

Ἀλλ᾽ ἄγε δεῦρο, τέκος, μίξον τεὸν ἡμετέρῃσι
But come here child mingle your to-our
καὶ πραπίδεσσι νόον, καὶ δαΐσιν δαΐδα,
and minds mind and to-torches torch
ὄφρα σε παμφανόωντα δι᾽ αἰθέρος ὑψιφέρουσαι,
so-that you all-shining through sky bearing-on-high
στήσωμεν Τριάδος πὰρ σέλας ἀθανάτου.
we-may-set of-Trinity beside gleam of-deathless
Ὣς φάμεναι φορέοντο δι᾽ αἰθέρος. Ὄμμα δ᾽ ἐμεῖο
So having-spoken they-were-borne through sky Eye and my
ἕσπετ᾽ ἀφιπταμέναις. Χ᾽ αἱ μὲν ὄνειρος ἔσαν,
followed the-flying-away And they indeed dream were
δηθὰ δ᾽ ἐμὴ κραδίη σεμνοῖς ἰνδάλμασι νυκτὸς
long and my heart with-august with-images of-night
τέρπετο, καὶ φαενῆς εἰκόσιν ἀφθορίης.
delighted and of-bright with-images of-incorruption
Ἄρτι μοι ἐς φρένα μῦθος ἀγείρετο, εὖτε νόημα
Just-now to-me into mind word gathered when thought
ἐσθλῶν ἠδὲ κακῶν πήγνυται ἀτρεκέως.
of-good and of-evil is-fixed truly
Καὶ νέος ἡγεμόνευε πόθου, καὶ κάλλος ἀμυδρὸν
And young led of-longing and beauty dim
ὄψιος ἐννυχίης φαίνετ᾽ ἀριπρεπέως.
of-vision nightly appeared conspicuously
Ὡς δ᾽ ὅτε καρφαλέην καλάμην σπινθὴρ ἀΐδηλος
As and when dry straw spark unseen
ἔνδοθι βοσκόμενος, λάμπεται ἐξαπίνης,
within feeding shines suddenly

φλὸξ ὀλίγη τοπρῶτον, ἔπειτα δὲ πυρσὸς ἀέρθη
flame small at-first then and beacon was-raised

ἄσπετος, ὣς καὶ ἐγὼ φάσματι δαιόμενος
unspeakable so also I by-vision burning

ὦχ᾽ ὑπέλαμπον ἔρωτα, σέλας δέ τε πᾶσι φαάνθη,
quickly I-glowed-under love gleam and indeed to-all was-shown

οὐκέτ᾽ ἐνὶ ψυχῆς βένθεσι κρυπτόμενον.
no-longer in of-soul in-depths being-hidden

Πρῶτα μὲν εὐσεβέεσσιν ὁμίλεον, οἵ ῥα γάμοιο
First indeed with-the-pious I-consorted who indeed of-marriage

δεσμὰ φύγον, κόσμου λυόμενοι χθονίου,
bonds fled of-world being-loosed earthly

ὡς Χριστῷ πτερόεντες ἅμ᾽ ἕσπωνται βασιλῆϊ,
that Christ winged together may-follow king

ἔνθεν ἀπορνύμενοι κύδεϊ σὺν μεγάλῳ.
thence departing glory with great

Τοὺς μὲν ἐγὼ φιλέων τε καὶ ἀμφιέπων περὶ κῆρι,
Them indeed I loving both and tending in heart

ἐλπίδος ἡγεμόνας εἶχον ἐπουρανίης·
of-hope leaders had heavenly

αὐτὰρ ἔπειτα γάμοιο βαρὺν ζυγὸν ἐκτὸς ἔθηκα,
but then of-marriage heavy yoke outside I-set

ὑψηλὴν ποθέων μοῖραν ἀειθαλέων.
lofty longing portion of-ever-flourishing

Καὶ γὰρ δὴ φύσιες μὲν, ὅσαι λάχον οὐρανὸν εὐρὺν
And for indeed natures indeed as-many-as obtained heaven broad

ἀζυγέες, παθέων κρείσσονες ἀργαλέων.
unyoked of-passions better grievous

Αἰγλήεις πρώτιστα Θεὸς μέγας· ὡς δὲ Θεοῖο
Radiant first-of-all God great as and of-God
λάτριες ὑψιθρόνου πλησίον ἑσταότες·
servants high-throned near standing
οἳ πρώτην ἀκτῖνα Θεοῦ καθαροῖο φέροντες,
who first ray of-God of-pure bearing
παμφαέες, θνητοῖς φῶτα χαριζόμενοι.
all-shining for-mortals lights bestowing
Ὅσσοι δ' ἐκ ψυχῆς καὶ σώματος εἰς ἓν ἄγερθεν,
As-many-as but from soul and body into one were-gathered
καὶ δυάς εἰσι, χοὸς ἔκγονα μαρναμένου,
and pair are of-dust offspring fighting
συζυγίην ποθέουσι, καὶ ἐς δέμας εἰσὶν ἑτοῖμοι
union long-for and to body are ready
σπείρειν. Ἀλλ' ὁ Λόγος κρείσσονα μοῖραν ἄγων,
to-sow But the Word better portion leading
σαρκὸς νόσφιν ἔθηκε, πλάνου δ' ἀποέργαθε κόσμου,
of-flesh apart set of-wandering and kept-away from-world
ζωῆς δ' ἀθανάτων θῆκ' ἀδέτοιο πέλας.
of-life and of-the-deathless set unbound near
Ἔνθα μ' ἔπεμπε πόθος μεγαλήτορα, οὐδ' ἐπὶ γαίης
There me sent longing great-hearted nor upon earth
ἤρειδον χθαμαλῆς ἴχνιον ἀδρανέον.
I-pressed of-low footprint feeble
Ἀλλ' ὥστε γλυκεροῖο γευσμένος ἠὲ γάλακτος,
But as of-sweet having-tasted or of-milk
ἢ μέλιτος, σταθερῆς κεῖθι χοροστασίης,
or of-honey of-steady there of-the-dance
οὐκ ἔθελον πικρῆς μοι ἐδητύος ἄσσον ἱκέσθαι,
not I-wished bitter to-me of-food nearer to-come

θυμοβόρου κακίης ἐνθάδε τικτομένης.
of-heart-devouring of-vice here being-born

Οὐδέ τί μοι θαλίαι τε καὶ ἃ νεότητι μέμηλεν,
Nor anything to-me feasts both and what to-youth is-a-care

οὐκ ἔσθος μαλακὸν, οὐδὲ χλιδῶσα κόμη,
not garment soft nor luxuriant hair

οὐκ αἰσχρῶν ἐπέων ἄχαρις χάρις, οὐδὲ γέλωτες
not of-shameful of-words graceless grace nor laughter

ἀκρατέες, σαρκὸς βράσματα δυσμενέος
incontinent of-flesh boilings hostile

ἔσκε φίλα. Σκοπέλους δὲ, καὶ οὔρεα, καὶ χρεμέθοντας
were dear Crags and and mountains and neighing

ἵππους, ἠδὲ κυνῶν θηροφόνων ὁμαδὸν
horses and of-dogs beast-slaying din

ἄλλοισιν παρέηκα, τὰ δ' ὄλβια πάντα τινάξας,
to-others I-left the(-things) and prosperous all having-shaken

αὐχέν' ὑπὸ στερεῇ θῆκα σαοφροσύνῃ,
neck under firm I-set sobriety

ᾗ μ' ἐκόμει τ' ἐφίλει τε καὶ ἐς μέγα κῦδος ἄεξεν,
who me tended both loved both and to great glory increased

ἐν δ' ἐτίθει Χριστοῦ χείρεσι προφρονέως.
in and set of-Christ hands eagerly

Ἀλλὰ, Πάτερ, Πατρός τε Λόγος, καὶ Πνεῦμα φαεινὸν,
But Father of-Father and Word and Spirit bright

ζωῆς ἡμετέρης ἔρμα κακοσταθέος,
of-life our prop ill-steadied

μή με λίπῃς χείρεσσιν ὑπ' ἀργαλέῃσι δαμῆναι
not me leave by-hands under grievous to-be-subdued

δυσμενέος, τῆς σῆς ἐλπίδος ἀντιπάλου.
of-the-hostile-one of-the your of-hope adversary

Μηδ' ὡς νῆα μέλαιναν, εὔπλοον, ὀρθὰ θέουσαν,
Nor as ship black well-sailing straight running
ἤδη καὶ λιμένων πλησίον ἱπταμένην,
already even of-harbors near flying
λαίφεσι πεπταμένοισιν ἐπαΐξασα θύελλα
on-sails spread having-swooped storm
λευγαλέων ἀνέμων, ἐξαπίνης ὀπίσω
of-baneful winds suddenly backward
πέμψειεν παλίνορσον ἐπ' εὐρέα νῶτα βίοιο,
may-send back upon broad backs of-life
ἔνθα καὶ ἔνθα κακοῖς βρασσόμενον μεγάλοις,
here and there by-evils tossed great
μή που δὲ κρυπτῇσι ποτὶ σπιλάδεσσιν ἐάξῃ.
lest somewhere and on-hidden against reefs shatter
Τοῖος γὰρ Βελίου τοῦ φθονεροῖο νόος·
Such for of-Belial of-the envious mind
αἰὲν ἀπεχθαίρει μερόπων γένος, οὐδ' ἀπὸ γαίης
always hates of-mortals race nor from earth
βούλεται οὐρανίους ἔμμεναι, οὐρανόθεν
wishes heavenly to-be from-heaven
αὐτὸς ἑὴν διὰ μῆτιν ἐπὶ χθόνα τήνδε τιναχθείς·
himself his-own through cunning upon earth this hurled
δύσμορος, ὃς πρώτου κάλλεος εὖχος ἔχειν
ill-fated who of-first of-beauty boast to-have
ἱέμενος, μεγάλην τε Θεοῦ βασιληΐδα τιμὴν,
desiring great and of-God kingly honor
ἀντὶ φάους στυγερὴν ἀμφέσατο σκοτίην.
instead-of light hateful put-on darkness

Τοὔνεκα καὶ σκοτίοισιν ἰαίνεται αἰὲν ἐπ᾽ ἔργοις
Therefore also in-dark is-warmed always at works
καὶ ζοφερῆς κακίης ἐνθάδε κάρτος ἔχει.
and of-gloomy of-vice here might has
Διπλοῦς δ᾽ αὖ μορφὴν τελέθει, σκολιός τε νόημα,
Double and again in-form is crooked and in-thought
ἄλλοτ᾽ ἐπ᾽ ἀλλοίην ἐρχόμενος παγίδα.
at-times upon different coming snare
Ἤτοι ὁ μὲν σκότος ἐστὶν ὑπέρτατον· ἢν δέ μιν εὕρῃς,
Truly he indeed darkness is highest if but him you-find
ἄγγελον ἐς φωτὸς ὦκα μεταστρέφεται,
angel into of-light quickly is-changed
καί ῥ᾽ ἁπαλὸν γελόων, σαίνει φρένας. Ἔνθα μάλιστα
and indeed tenderly laughing fawns-on minds There most
φράδμονος, ἀντὶ φάους μὴ θανάτῳ πελάσαι.
of-the-shrewd instead-of light not to-death to-approach
Τὴν μὲν γὰρ κακότητα φυγεῖν, καὶ χείρονος ἀνδρός·
The indeed for wickedness to-flee and of-worse of-man
πολλοῖς γὰρ κακίη ἔχθεται ἀμφαδίη.
for-many for vice is-hated open
Αἰνῶ δ᾽ ὃς λοχόωντα, καὶ ὃς ἀΐδηλον ἐλέγχει,
I-praise and who the-lying-in-wait and who unseen convicts
Πνεύματος ὀξυτάτοις ὄμμασι δερκόμενος.
of-Spirit with-sharpest with-eyes seeing
Ἀλλὰ σάω καὶ γῆρας ἐμὸν πολιόν τε κάρηνον,
But save also old-age my gray and head
τέρμα φέροις ζωῆς ἵλαος, ὥς με πάρος
end may-you-bear of-life propitious as me before

ἐνδυκέως ἀγάπαζες, ἐπ᾽ ἤματι δ᾽ ἤμαρ ἄριστον
tenderly you-cherished upon day and day best
ἦγες, χρηστοτέραις ἐλπίσι πρόσθε φέρων·
you-led with-better with-hopes forward bearing
καί μ᾽ ἐκ δυσμενέων τε καὶ ἀργαλέων μελεδώνων,
and me from hostile both and grievous cares
εὔδιον ἐς λιμένα σῆς βασιλείας ἄγοις,
calm into harbor of-your of-kingdom may-you-lead
ὄφρα σε σὺν φαέεσσιν ἀειζώοισι γεραίρων,
so-that you with lights ever-living honoring
κύδεος οὐρανίου μοῖραν ἔχοιμι, ἄναξ.
of-glory heavenly portion I-may-have lord

GREGORY OF NAZIANZUS

ΑΠΟΛΟΓΗΤΙΚΟΣ ΤΗΣ ΕΙΣ ΤΟΝ ΠΟΝΤΟΝ ΦΥΓΗΣ ΕΝΕΚΕΝ

The Apology for His Flight

ΛΟΓΟΣ Β′. Τοῦ αὐτοῦ ἀπολογητικὸς τῆς εἰς τὸν Πόντον φυγῆς ἕνεκεν, καὶ αὖθις ἐπανόδου ἐκεῖθεν, μετὰ τὴν τοῦ πρεσβυτέρου χειροτονίαν, ἐν ᾧ τί τὸ τῆς ἱερωσύνης ἐπάγγελμα

ORATION 2, 1–10 · WHY HE FLED

Gregory admits defeat and promises to set out, without shame, both why he fled to Pontus and why he returned. God has ordered the Church like a body, some ruling and some ruled, and he neither despises that order nor thinks anarchy better. But the sudden ordination stunned him, and he longed for the quiet of contemplation, in which the soul becomes a spotless mirror of God. He was ashamed of men who rush to the altar with unwashed hands, taking the order as a livelihood and outnumbering those they rule. Above all, ruling souls is not like tending a herd: it is harder to rule men than to be ruled, and the higher the office, the greater the danger.

Ἥττημαι, καὶ τὴν ἧττταν ὁμολογῶ· ὑπετάγην τῷ 1
I-have-been-defeated and the defeat I-confess I-was-subjected to-the
Κυρίῳ, καὶ ἱκέτευσα αὐτόν· ὁ γάρ μοι μακαριώτατος
Lord and I-supplicated him the for to-me most-blessed
Δαβὶδ ἀρχέτω τοῦ λόγου· μᾶλλον δὲ ὁ ἐν τῷ Δαβὶδ
David let-begin the speech rather but the(-one) in — David
φθεγξάμενος, καὶ εἰσέτι καὶ νῦν δι᾽ αὐτοῦ φθεγγόμενος.
having-spoken and still even now through him speaking
Ἐπειδὴ καὶ τάξις ἀρίστη παντὸς ἀρχομένῳ καὶ λόγου
since also order best of-every beginning both of-speech
καὶ πράγματος, ἐκ Θεοῦ τε ἄρχεσθαι, καὶ εἰς Θεὸν
and of-deed from God both to-begin and in God
ἀναπαύεσθαι. Τὸ δὲ αἴτιον ἢ τῆς πρώτου στάσεως καὶ
to-rest the but cause either of-the first rebellion and
ὀλιγοψυχίας, δι᾽ ἣν ἐμάκρυνα φυγαδεύων, καὶ ηὐλίσθην
faint-heartedness because-of which I-went-far fleeing and I-lodged
ἀφ᾽ ὑμῶν χρόνον οὐ μικρὸν ἴσως τοῖς γε ποθοῦσιν,
from you time not small perhaps to-those at-least longing

ἢ τῆς νῦν ἡμερότητος καὶ μεταβολῆς, δι' ἣν αὖθις
or of-the present gentleness and change because-of which again
ἐμαυτὸν ἔδωκα φέρων ὑμῖν, ἄλλος μὲν ἄλλο τι
myself I-gave bringing to-you one indeed other some-thing
οἰέσθω τε καὶ λεγέτω τῶν ἢ μισούντων ἢ ἀγαπώντων
let-think both and let-say of-those either hating or loving
ἡμᾶς· ὁ μὲν οὐκ ἀφιεὶς αἰτίας, ὁ δὲ καὶ
us the(-one) indeed not letting-go charges the(-other) but also
προσαποδεχόμενος· οὐδὲν γὰρ οὕτως ἡδὺ τοῖς ἀνθρώποις
accepting-besides nothing for so sweet to-the men
ὡς τὸ λαλεῖν τὰ ἀλλότρια, καὶ μάλιστα ἐὰν τύχωσιν
as the to-talk-of the(-things) of-others and most if they-happen
ὑπ' εὐνοίας τινὸς ἢ μίσους ἑλκόμενοι, ὑφ' ὧν καὶ φιλεῖ
by goodwill some or hatred drawn by which also is-wont
κλέπτεσθαι ὡς τὰ πολλὰ ἡ ἀλήθεια. Ἐγὼ δὲ τἀληθὲς
to-be-stolen as for-the most-part the truth I but the-truth
εἰς μέσον θήσω, μηδὲν αἰσχυνθείς, καὶ διαιτήσω δικαίως
into middle will-set nothing having-been-ashamed and I-will-arbitrate justly
ἀμφοτέροις τοῖς μέρεσιν, ὅσοι τε κατηγοροῦσιν ἡμῶν,
for-both the parties as-many-as both accuse us
καὶ ὅσοι ὑπεραπολογοῦνται προθύμως· τὸ μέν τι
and as-many-as defend eagerly the(-one) indeed some
κατηγορήσας ἐμαυτοῦ, τὸ δὲ ὑπεραπολογησάμενος.
having-accused of-myself the(-other) but having-defended

2 Καὶ ἵνα γε καθ' ὁδὸν ὁ λόγος ἡμῖν προΐῃ, περὶ τῆς
and that indeed along road the speech for-us may-proceed about the
δειλίας προτέρας οὔσης καὶ διαλέξομαι· οὐδὲ γὰρ ἀνέχομαι
cowardice first being also I-will-discourse nor for I-endure
πλήττεσθαί τινας ἐν ἐμοὶ τῶν πάντα τηρούντων
to-be-struck some in me of-the(-ones) all watching
ἐπιμελῶς τὰ ἡμέτερα, εὖ τε καὶ ὡς ἑτέρως ἔχοντα·
carefully the(-things) our well both and as otherwise being

ἐπειδή τι τὸ καθ' ἡμᾶς εἶναι Χριστιανοῖς εὐδόκησεν
since somewhat the(-thing) about us to-be to-Christians was-well-pleased
ὁ Θεὸς, καὶ τοὺς ἤδη πεπληγότας, εἴπερ τινές εἰσι,
— God and the(-ones) already having-been-struck if-indeed some there-are
διὰ τῆς ἀπολογίας ἰάσομαι· καλὸν γὰρ μήτε ἁμαρτάνοντα,
through the defense I-will-heal beautiful for neither sinning
μήτε ὑπονοούμενον, ἕως ἂν οἷόν τε ᾖ, καὶ ὁ λόγος
nor being-suspected while — possible — it-is and the reason
αἱρῇ, τιθέναι πρόσκομμα τοῖς πολλοῖς ἢ σκάνδαλον· εἴπερ
allows to-set stumbling-block for-the many or scandal if-indeed
καὶ τοῖς ἕνα τῶν μικρῶν σκανδαλίσασιν ἴσμεν ὅπως
even for-the(-ones) one of-the little having-scandalized we-know how
ἀπαραίτητος καὶ βαρυτάτη παρὰ τοῦ ἀψευδοῦς ἡ τιμωρία.
inexorable and heaviest from the unlying the punishment
Ἐγὼ γὰρ ἔπαθον τοῦτο, ὦ ἄνδρες, οὔτε ὡς ἀπαίδευτος καὶ 3
I for suffered this O men neither as uneducated and
ἀσύνετος, ἀλλὰ μᾶλλον, ἵνα καὶ μικρόν τι καυχήσωμαι,
unintelligent but rather that even little something I-may-boast
οὔτε ὡς ὑπερόπτης τῶν θείων νόμων καὶ διατάξεων. Ὅτι
nor as despiser of-the divine laws and ordinances that
καθάπερ ἐν σώματι τὸ μέν τι ἄρχον ἐστὶ καὶ οἷον
just-as in body the(-one) indeed some ruling is and as-it-were
προκαθεζόμενον, τὸ δὲ ἀρχόμενον καὶ ἀγόμενον· οὕτω
presiding the(-other) but being-ruled and being-led so
κἀν ταῖς Ἐκκλησίαις διέταξεν ὁ Θεὸς ἰσότητος νόμῳ
also-in the Churches ordained — God of-equality by-law
τῆς ἐχούσης τὸ κατ' ἀξίαν, ἢ καὶ προνοίας,
of-the(-one) having the(-thing) according-to worth or also of-providence
ᾗ τὰ πάντα συνέδησε, τοὺς μὲν ποιμαίνεσθαί
by-which the(-things) all be-bound-together the(-ones) indeed to-be-shepherded
τε καὶ ἄρχεσθαι, ὅσοις τοῦτο λυσιτελέστερον, καὶ λόγῳ
both and to-be-ruled as-many-as-for this more-profitable and in-word

καὶ ἔργῳ πρὸς τὸ δέον ἰθυνομένους· τοὺς δὲ εἶναι ποιμένας
and in-deed toward the needful being-directed the(-ones) but to-be shepherds
καὶ διδασκάλους, πρὸς τὸν καταρτισμὸν τῆς Ἐκκλησίας,
and teachers for the perfecting of-the Church
ὅσοι τῶν πολλῶν εἰσιν ἀνωτέρω κατ' ἀρετὴν καὶ τὴν
as-many-as than-the many are higher in virtue and the
πρὸς τὸν Θεὸν οἰκείωσιν, λόγον ψυχῆς πρὸς σῶμα, ἢ
toward — God familiarity place of-soul toward body or
νοῦ πρὸς ψυχὴν ἐπέχοντας· ἵν' ἀμφότερα συντεθέντα
of-mind toward soul holding that both having-been-put-together
ἀλλήλοις καὶ συγκραθέντα, τό τε ὑστεροῦν καὶ τὸ
with-one-another and having-been-blended the(-thing) both lacking and the(-thing)
πλεονάζον, ὥσπερ ἐν μέλεσι, καὶ τῇ ἁρμονίᾳ τοῦ πνεύματος
exceeding as in limbs and by-the harmony of-the spirit
συμβιβασθέντα καὶ συνδεθέντα ἓν ἄρτιον ἀποδειχθῇ
having-been-brought-together and having-been-bound-together one complete may-be-shown
σῶμα, καὶ αὐτοῦ Χριστοῦ τῆς κεφαλῆς ἡμῶν ὄντως ἄξιον.
body and of-Christ himself of-the head our truly worthy
4 Οὔτε οὖν τοῖς ἄλλοις ἀναρχίαν καὶ ἀταξίαν λυσιτελεστέραν
neither therefore for-the others anarchy and disorder more-profitable
οἶδα τάξεως καὶ ἀρχῆς, οὔτε ἀνθρώποις· ἀλλὰ τούτοις καὶ
I-know than-order and rule nor for-men but for-these also
πάντων οὐχ ἥκιστα, ὅσῳ καὶ περὶ μειζόνων αὐτοῖς ὁ
of-all not least by-as-much-as also about greater-things for-them the
κίνδυνος· οἷς μέγα, κἂν εἰ τὸ πρῶτον τοῦ λόγου μὴ
danger for-whom great-thing even if the first of-the reason not
σώζοιεν, τὸ μηδὲν ἁμαρτάνειν, ἀλλὰ τό γε δεύτερον
they-should-keep the nothing to-sin but the at-least second
ἐκείνου, τὸ ἁμαρτάνοντας ἐπανάγεσθαι. Ἐπειδὴ τοῦτο καλὸν
to-that the sinning to-be-brought-back since this beautiful
ἐφάνη καὶ δίκαιον, ἴσον ἐμοὶ κακὸν καὶ ὁμοίως ἄτακτον,
appeared and just equal to-me evil and likewise disorderly

πάντας τε ἄρχειν ἐθέλειν, καὶ μηδένα δέχεσθαι· ὡς, εἴ
all both to-rule to-wish and no-one to-accept so-that if
γε πάντες φεύγοιεν ταύτην τὴν εἴτε λειτουργίαν χρὴ
indeed all should-flee this the whether ministry one-must
λέγειν, εἴτε ἡγεμονίαν, χωλεύοι ἂν τῷ μεγίστῳ μέρει, καὶ
to-call or leadership would-limp — in-the greatest part and
οὐδ' ἂν καλὸν ἔτι μένοι τὸ καλὸν τῆς Ἐκκλησίας
not-even — beautiful still would-remain the beautiful of-the Church
πλήρωμα. Ποῦ δ' ἂν ἔτι καὶ παρὰ τίνων θρησκεύοιτο
fullness where and — still and by whom would-be-worshiped
ἡμῖν ὁ Θεὸς τὰ μυστικὰ καὶ ἄνω φέροντα, ὃ
for-us — God the(-things) mystical and upward bearing which
δὴ μέγιστόν ἐστι τῶν ἡμετέρων καὶ τιμιώτατον,
indeed greatest is of-the(-things) our and most-precious
οὐκ ὄντος βασιλέως, οὐδὲ ὄντος ἄρχοντος, οὐδὲ ἱερατείας,
not being king nor being ruler nor priesthood
οὐδὲ θυσίας, οὐδ' ὅσα ὡς μέγιστα ἐπὶ μεγάλοις τοῖς
nor sacrifice nor as-many-as as greatest upon great the
πταίσμασιν, οἱ πάλαι ἀπειθεῖς κατεκρίθησαν;
stumblings the(-ones) of-old disobedient were-condemned
Ἀλλ' οὐδὲ ξένον τι καὶ ἀπὸ τρόπου τοῖς πολλοῖς 5
but not-even strange anything and out-of place for-the many
τὰ θεῖα φιλοσοφοῦσιν ἐπὶ τὸ ἄρχειν ἀναβαίνειν ἀπὸ
the(-things) divine philosophizing to the to-rule to-go-up from
τοῦ ἄρχεσθαι, οὐδὲ ἔξω τῶν νενομισμένων τῆς φιλοσοφίας
the to-be-ruled nor outside the customary of-the of-philosophy
ὅρων, καὶ φέρον εἰς ὄνειδος· ὥσπερ οὐδὲ ναύτῃ τῶν
bounds and leading to reproach just-as not-even for-sailor of-the
εὐδοκίμων τὸ πρωρατεῦσαι, καὶ πρωρεῖ καλῶς τοὺς
well-reputed the to-serve-at-the-prow and for-prow-man well the
ἀνέμους τηρήσαντι τὸ πιστευθῆναι τοὺς οἴακας· εἰ δὲ βούλει,
winds having-watched the to-be-entrusted-with the tillers if but you-wish

στρατιώτῃ γενναίῳ τὸ ταξιαρχῆσαι, καὶ ταξιάρχῃ
for-soldier noble the to-command-a-company and for-company-commander
καλῷ τὸ στρατηγῆσαί τε καὶ πολέμου παντὸς ἡγεμονίαν
good the to-be-general both and of-war every leadership
ἐγχειρισθῆναι. Οὐ μὴν οὐδ', ὅπερ ἂν ὑπολάβοι τις ἴσως
to-be-entrusted not however even which — might-suppose someone perhaps
τῶν πάντα ἀτόπων καὶ μοχθηρῶν, οἳ κρίνουσι τὰ
of-the(-ones) altogether absurd and wicked who judge the(-things)
τῶν ἄλλων τοῖς οἰκείοις πάθεσιν, ᾐσχύνθην τοῦ βαθμοῦ
of-the others by-the own passions I-was-ashamed-of of-the grade
τὴν τάξιν ἐπιθυμίᾳ τῆς μείζονος· οὐχ οὕτως ἐγὼ ἢ τοῦ
the rank by-desire of-the greater not so I either of-the
θείου μεγέθους, ἢ τῆς ἀνθρωπίνης ταπεινώσεως ἄπειρος,
divine greatness or of-the human lowliness inexperienced
ὡς μὴ μέγα νομίζειν πάσῃ γενητῇ φύσει, καὶ ὁπωσοῦν
as not great-thing to-think for-every created nature and in-any-way
πλησιάζειν Θεῷ τῷ μόνῳ φανοτάτῳ καὶ λαμπροτάτῳ, καὶ
to-approach God the alone most-luminous and most-brilliant and
ὑπερέχοντι πάσης ὑλικῆς τε καὶ ἀΰλου φύσεως καθαρότητι.
surpassing every material both and immaterial nature in-purity

6 Τί οὖν ἐστιν ὃ πέπονθα; καὶ τίς ὁ λόγος τῆς ἐμῆς
what therefore is which I-have-suffered and what the reason of-the my
ἀπειθείας; Οὐδὲ γὰρ ἔδοξα τοῖς πολλοῖς ἐν ἐμαυτῷ τότε
disobedience nor for I-seemed to-the many in myself then
μένειν, οὐδ' εἶναι ὥσπερ ἐγινωσκόμην, ἀλλ' ἕτερος ἐξ ἑτέρου
to-remain nor to-be as I-was-known but other from other
τις γεγονέναι, καὶ πλέον ἢ καλῶς εἶχεν ἀντιτείνειν καὶ
someone to-have-become and more than well it-had to-resist and
αὐθαδιάζεσθαι. Τούτου δὴ τὰς αἰτίας ἀκούοιτ' ἂν ἤδη
to-be-self-willed of-this indeed the causes you-would-hear — already
πάλαι ποθοῦντες. Μάλιστα μὲν τῷ ἀδοκήτῳ πληγεὶς,
long longing most indeed by-the unexpected having-been-struck

ὥσπερ οἱ τοῖς αἰφνιδίοις τῶν ψόφων καταπλαγέντες, οὐ
as the(-ones) by-the sudden of-the noises having-been-astounded not
κατέσχον τοὺς λογισμούς· καὶ διὰ τοῦτο ἔλυσα τὴν αἰδῶ,
I-held-fast the reasonings and because-of this I-loosed the shame
πάντα τὸν χρόνον ταύτῃ συνειθισμένος. Ἔπειτά μέ τις
all the time to-this having-been-accustomed then me some
ὑπεισῄει ἔρως τοῦ καλοῦ τῆς ἡσυχίας καὶ τῆς ἀναχωρήσεως·
crept-in love of-the beauty of-the quiet and of-the withdrawal
ἧς ἐραστὴς γενόμενος ἐξ ἀρχῆς, ὡς οὐκ οἶδ' εἴ τις
of-which lover having-become from beginning as not I-know if any
ἄλλος τῶν περὶ λόγους ἐσπουδακότων, καὶ ἣν ἐν
other of-the(-ones) about letters having-been-zealous and which in
τοῖς μεγίστοις καὶ χαλεπωτάτοις κινδύνοις καθυποσχόμενος
the greatest and most-grievous dangers having-promised
τῷ Θεῷ, καί τι καὶ προσαψάμενος ταύτης, ὅσον
— to-God and somewhat also having-laid-hold-of this as-much-as
ἐν προθύροις γενέσθαι, καὶ πλείονά μοι τὸν πόθον
in porches to-be and greater for-me the longing
ἐξαφθῆναι διὰ τῆς πείρας, οὐχ ἥνεγκα τυραννούμενος
to-have-been-kindled through the experience not I-bore being-tyrannized
καὶ εἰς μέσους τοὺς θορύβους ὠθούμενος, καὶ οἷον ἀπὸ
and into the-midst the tumults being-thrust and as-it-were from
ἱεροῦ τινος ἀσύλου τοῦ βίου τούτου πρὸς βίαν ἀποσπώμενος.
sacred some asylum of-the life this by force being-dragged-away
Οὐδὲν γὰρ ἐδόκει μοι τοιοῦτον οἷον μύσαντα τὰς αἰσθήσεις, 7
nothing for seemed to-me such as having-shut the senses
ἔξω σαρκὸς καὶ κόσμου γενόμενον, εἰς ἑαυτὸν συστραφέντα,
outside flesh and world having-become into himself having-been-turned-in
μηδενὸς τῶν ἀνθρωπίνων προσαπτόμενον, ὅτι μὴ πᾶσα
of-nothing of-the human-things laying-hold except — every
ἀνάγκη, ἑαυτῷ προσλαλοῦντα καὶ τῷ Θεῷ, ζῆν ὑπὲρ
necessity with-himself conversing and — with-God to-live above

τὰ ὁρώμενα, καὶ τὰς θείας ἐμφάσεις ἀεὶ καθαρὰς
the(-things) being-seen and the divine reflections always pure
ἐν ἑαυτῷ φέρειν ἀμιγεῖς τῶν κάτω χαρακτήρων καὶ
in himself to-bear unmixed with-the below impressions and
πλανωμένων, ὄντως ἔσοπτρον ἀκηλίδωτον Θεοῦ καὶ τῶν
wandering truly mirror spotless of-God and of-the
θείων καὶ ὂν καὶ ἀεὶ γινόμενον, φωτὶ προσλαμβάνοντα
divine-things both being and always becoming by-light taking-in-addition
φῶς, καὶ ἀμαυροτέρῳ τρανότερον, ἤδη τὸ τοῦ μέλλοντος
light and by-dimmer clearer already the of-the coming
αἰῶνος ἀγαθὸν ταῖς ἐλπίσι καρπούμενον, καὶ συμπεριπολεῖν
age good in-the hopes enjoying and to-go-about-with
ἀγγέλοις, ἔτι ὑπὲρ γῆς ὄντα καταλιπόντα τὴν γῆν, καὶ
angels still upon earth being having-left the earth and
ὑπὸ τοῦ πνεύματος ἄνω τιθέμενον. Εἴ τις ὑμῶν τούτῳ
by the spirit upward being-set if anyone of-you by-this
τῷ ἔρωτι κάτοχος, οἶδεν ὃ λέγω, καὶ τῷ τότε πάθει
the love possessed knows what I-say and the then suffering
συγγνώσεται· τοὺς γὰρ πολλοὺς οὐδ' ἂν πείσαιμι
will-pardon the for many not-even — I-would-persuade
λέγων ἴσως, ὅσοις καὶ ἐν γέλωτι τὸ πρᾶγμα δοκεῖ,
saying perhaps for-as-many-as also in laughter the thing seems
κακῶς διατεθεῖσιν εἴτε ὑπὸ τῆς ἰδίας αὐτῶν ἀνοίας,
badly having-been-disposed whether by the own their folly
εἴτε ὑπὸ τῶν ἀναξίων τοῦ ἐπαγγέλματος· οἳ πράγματι
or by the(-ones) unworthy of-the profession who on-thing
καλῷ κακὸν περιτεθείκασιν ὄνομα, τῇ φιλοσοφίᾳ τὴν
beautiful evil have-put-around name on-the philosophy the
κενοδοξίαν, συνεργὸν λαβόντες τὸν φθόνον καὶ τὴν τῶν
vainglory as-fellow-worker having-taken the envy and the of-the
πολλῶν κακίαν πρὸς τὸ χεῖρον οὖσαν ἑτοιμοτέραν· ἵν' ἕν
many vice toward the worse being readier that one

γέ τι πάντως αὐτοῖς ἁμαρτάνηται, ἢ τὸ κακὸν
at-least some-thing altogether by-them may-be-sinned either the evil
ἐνεργούμενον, ἢ τὸ καλὸν ἀπιστούμενον.
being-done or the good being-disbelieved
Πρὸς δὲ τούτοις πρᾶγμα ἔπαθον, ἐκλαλήσω γὰρ πρὸς 8
besides and these thing I-suffered I-will-blurt-out for to
ὑμᾶς πᾶν τὸ ἀπόῤῥητον, οὐκ οἶδ' εἴτε ἄγροικον εἴτε
you all the unspeakable not I-know whether boorish or
ἐλεύθερον, ἔπαθον δ' οὖν· ᾐσχύνθην ὑπὲρ τῶν ἄλλων,
free I-suffered but anyway I-was-ashamed on-behalf-of the others
ὅσοι, μηδὲν τῶν πολλῶν ὄντες βελτίους, μέγα μὲν
as-many-as nothing than-the many being better great-thing indeed
οὖν, εἰ καὶ μὴ πολλῷ χείρους, ἀνίπτοις χερσὶν, ὃ δὴ
then if even not much worse with-unwashed hands which indeed
λέγεται, καὶ ἀμυήτοις ψυχαῖς τοῖς ἁγιωτάτοις ἑαυτοὺς
is-said and with-uninitiated souls into-the most-holy themselves
ἐπεισάγουσι· καὶ πρὶν ἄξιοι γενέσθαι προσιέναι τοῖς ἱεροῖς,
bring-in and before worthy to-become to-approach the holy-things
μεταποιοῦνται τοῦ βήματος, θλίβονταί τε καὶ ὠθοῦνται
lay-claim-to the sanctuary are-pressed both and are-jostled
περὶ τὴν ἁγίαν τράπεζαν, ὥσπερ οὐκ ἀρετῆς τύπον, ἀλλ'
about the holy table as not of-virtue type but
ἀφορμὴν βίου τὴν τάξιν ταύτην εἶναι νομίζοντες, οὐδὲ
resource of-livelihood the order this to-be thinking nor
λειτουργίαν ὑπεύθυνον, ἀλλ' ἀρχὴν ἀνεξέταστον. Καὶ εἰσὶ
ministry accountable but rule unexamined and they-are
σχεδόν τι πλείους κατ' ἀριθμὸν ἢ ὁπόσων ἄρχουσι·
nearly somewhat more in number than as-many-as they-rule
δείλαιοι τῆς εὐσεβείας, καὶ ἄθλιοι τῆς λαμπρότητος· ὥστε
wretched of-the piety and miserable of-the splendor so-that
ἔμοιγε δοκοῦσι, προϊόντος τοῦ χρόνου καὶ τοῦ κακοῦ,
to-me-at-least they-seem advancing the time and the evil

μηδὲ ἔχειν λοιπὸν ὧν ἄρξουσι, πάντων διδασκόντων
not-even to-have henceforth whom they-will-rule all teaching
ἀντὶ τοῦ διδακτοὺς εἶναι Θεοῦ, ὥς φησιν ἡ ἐπαγγελία,
instead-of the taught to-be of-God as says the promise
καὶ πάντων προφητευόντων, ὥστε εἶναι καὶ Σαοὺλ ἐν
and all prophesying so-that to-be also Saul among
προφήταις, κατὰ τὴν παλαιὰν ἱστορίαν καὶ παροιμίαν.
prophets according-to the old history and proverb
Οὐδὲν γὰρ οὕτω πολὺ κατ᾽ οὐδένα καιρὸν οὔτ᾽ ἐστὶν,
nothing for so much at any time either is
οὔτ᾽ ἐγένετο, ἄλλοτε ἄλλων ἀκμασάντων τε καὶ
or was at-other-times others having-flourished both and
ληξάντων, ὡς νῦν Χριστιανοῖς τὰ τοιαῦτα καὶ ὀνείδη καὶ
having-ceased as now among-Christians the such-things both reproaches and
ἁμαρτήματα. Ὧν εἰ καὶ στῆσαι τὴν φορὰν κρεῖσσον
sins of-which if even to-stop the course better
ἢ καθ᾽ ἡμᾶς, ἀλλὰ τό γε μισεῖν καὶ αἰσχύνεσθαι
than according-to us but the at-least to-hate and to-be-ashamed
μέρος εὐσεβείας οὐ τὸ σμικρότατον.
part of-piety not the smallest

9 Ὃ δὲ τελευταῖον καὶ μεῖζον τῶν εἰρημένων, εἶμι γὰρ
what but last and greater than-the(-things) having-been-said I-go for
ἐπ᾽ αὐτὸν ἤδη τὸν κολοφῶνα τοῦ λόγου, καὶ οὐ ψεύσομαι·
to itself already the summit of-the speech and not I-will-lie
οὐδὲ γὰρ θέμις τοῖς περὶ τηλικούτων ποιουμένοις τὸν
nor for lawful for-the(-ones) about such-great-things making the
λόγον· οὐκ ᾤμην ἴσον εἶναι, οὐδὲ νῦν οἶομαι, ποίμνης
speech not I-thought equal to-be nor now I-think flock
ἄρχειν ἢ βουκολίου, καὶ ἀνθρώπων ἐπιστατεῖν ψυχαῖς.
to-rule or herd and of-men to-be-in-charge-of souls
Ἐκεῖ μὲν γὰρ ἐξαρκεῖν, ὅτι παχύτατον καὶ πιότατον
there indeed for to-suffice as-possible fattest and plumpest

ἀποδεῖξαι τὸ βουκόλιον ἢ τὸ ποίμνιον· καὶ πρὸς τοῦτο ὁρῶν
to-show the herd or the flock and toward this looking
ὅ τε βουκόλος καὶ ὁ ποιμὴν τῶν τε χωρίων ἐπισκέψεται
the both herdsman and the shepherd of-the both places will-look-to
τὰ ἔνυδρα καὶ ἐπίνομα, εἰσελάσει τε καὶ ἐξελάσει ἀπό
the(-ones) watered and grassy will-drive-in both and will-drive-out from
τε νομῶν καὶ ἐπὶ νομὰς, ἀναπαύσει τε καὶ ἀποκινήσει
both pastures and to pastures will-rest both and will-move
καὶ ἀνακαλέσει, ὀλίγα μὲν τῇ βακτηρίᾳ, τὰ πολλὰ
and will-call-back few-things indeed with-the staff the(-things) many
δὲ τῇ σύριγγι. Ἄλλο δὲ οὐδὲν ἔργον εἶναι τῷ ποιμένι
but with-the pipe other but no work to-be for-the shepherd
ἢ τῷ βουκόλῳ πλὴν ὅσον βραχέα προσπολεμῆσαι τοῖς
or for-the herdsman except as-much-as briefly to-fight-against the
λύκοις, καὶ ποῦ τι καὶ ἀῤῥωστοῦν ἐπισκέψασθαι· τὰ
wolves and somewhere something also being-sick to-look-to for-the
πολλὰ δὲ αὐτῷ μελήσει δρῦς, καὶ σκιὰ, καὶ δόνακες, καὶ
most-part but to-him will-be-a-care oak and shade and reeds and
ἐν καλῷ τῆς πόας κατακλιθῆναι, καὶ παρὰ ψυχρὸν ὕδωρ,
in beautiful of-the grass to-lie-down and beside cold water
καὶ ὑπὸ ταῖς αὔραις σχεδιάσαι στιβάδα, καὶ ποῦ τι
and under the breezes to-improvise bed and somewhere something
καὶ ἐρωτικὸν ᾄσαι μετὰ τοῦ κισσυβίου, καὶ προσλαλῆσαι
also amorous to-sing with the cup and to-talk
ταῖς βουσὶν ἢ τῇ ποίμνῃ· καὶ τούτων αὐτῶν θοινήσασθαι
to-the cows or to-the flock and of-these themselves to-feast-on
ἢ ἀποδόσθαι τὸ πιότατον. Ἀρετῆς δὲ οὐδεὶς πω ποιμνίων
or to-sell the fattest of-virtue but no-one yet of-flocks
ἢ βουκολίων ἐφρόντισε. Τίς γὰρ καὶ ἀρετὴ τούτων; ἢ
or of-herds took-thought what for even virtue of-these or
τίς τὸ ἐκείνοις καλὸν πρὸ τῆς ἰδίας ἡδονῆς ἐσκέψατο;
who the for-those good before the own pleasure considered

10 Ἀνθρώπῳ δὲ χαλεποῦ ὄντος τοῦ εἰδέναι ἄρχεσθαι, κινδυνεύει
for-man but grievous being the to-know to-be-ruled risks
πολλῷ χαλεπώτερον εἶναι τὸ εἰδέναι ἄρχειν ἀνθρώπων, καὶ
much more-grievous to-be the to-know to-rule men and
μάλιστα δὴ ἀρχὴν ταύτην, τὴν ἡμετέραν, τὴν ἐν νόμῳ
most indeed rule this the our the(-one) in law
θείῳ, καὶ πρὸς Θεὸν ἄγουσαν, ἧς ὅσον τὸ ὕψος καὶ τὸ
divine and to God leading of-which as-great-as the height and the
ἀξίωμα, τοσοῦτος καὶ ὁ κίνδυνος τῷ γε νοῦν ἔχοντι.
dignity so-great also the danger for-the(-one) at-least sense having
Ὃν γε πρῶτον μὲν δεήσει, καθάπερ ἄργυρον ἢ
whom indeed first indeed it-will-be-needful just-as silver or
χρυσὸν, πανταχόθεν στρεφόμενον, καὶ ἐν παντοίοις καιροῖς
gold from-all-sides being-turned and in all-kinds-of occasions
καὶ πράγμασι, μηδαμοῦ κίβδηλον ἠχεῖν ἢ ὑπόχαλκον,
and affairs nowhere counterfeit to-ring or alloyed-with-copper
μηδέ τι φέρειν ἐν ἑαυτῷ ὕλης τῆς χείρονος, καὶ
nor anything to-bear in himself of-matter of-the worse and
θερμοτέρου πυρὸς ἀξίας· ἢ τοσούτῳ μεῖζον ἔσται κακὸν,
of-hotter fire worthy or by-so-much greater will-be evil
ὅσῳ περ ἂν ἄρχῃ πλειόνων· εἴπερ καὶ μείζων τῆς
by-as-much-as indeed — be-rule more since even greater than-the
περὶ ἕνα ἱσταμένης πονηρίας ἡ εἰς πολλοὺς ὁδεύουσα.
about one standing wickedness the(-one) to many journeying

Vice in a ruler spreads to his people faster than plague, as Haggai's question shows: holiness does not pass by touch, but uncleanness does. A ruler must not only avoid evil but excel in good, measuring himself by the commandment, not his neighbors: a private man fails by doing base things, a ruler by falling short of the best. He must lead by persuasion, not force. Guiding man, the most various of creatures, is the art of arts, harder than a physician's care of the perishable body, for the soul was joined to the body to win glory by struggle and draw the flesh upward. The body does not resist its healer; the soul hides its disease, excuses it, and fights its healers.

Οὐ γὰρ οὕτως οὔτε δευσοποιοῦ βαφῆς μεταλαμβάνει ῥᾳδίως 11
not for so either of-indelible dye partakes easily
ὕφασμα, οὔτε δυσωδίας ἢ τοῦ ἐναντίου τὸ πλησιάσαν,
fabric or of-stench or of-the opposite the(-thing) having-approached
οὔτε νοσερά τις οὕτως εὐκόλως ἀναχεῖται εἰς τὸν ἀέρα,
or diseased some so readily is-diffused into the air
καὶ διὰ τοῦ ἀέρος ὁμιλεῖ τοῖς ζῴοις ἀτμὶς, ὃ δὴ
and through the air consorts-with the living-things vapor which indeed
λοιμός ἐστί τε καὶ ὀνομάζεται, ὡς φιλεῖ τάχιστα τῆς
plague is both and is-named as is-wont most-quickly of-the
τοῦ προεστῶτος κακίας ἀναπίμπλασθαι τὸ ὑπήκοον, καὶ
of-the(-one) presiding vice to-be-filled the subject and
πολλῷ γε ῥᾷον ἢ τοῦ ἐναντίου, τῆς ἀρετῆς. Τοῦτο
much indeed more-easily than of-the opposite of-the virtue this
γάρ ἐστιν ὃ μάλιστα πλεονεκτεῖ τὴν καλοκαγαθίαν ἡ
for is which most has-the-advantage-over the nobility the
πονηρία, καὶ ὃ μάλιστα ἐγὼ δυσχεραίνω κατανοῶν, ὅτι
wickedness and which most I am-vexed perceiving that
εὐζήλωτον μέν τι καὶ πρόχειρον πρᾶγμα ἡ μοχθηρία,
easy-to-emulate indeed some-thing and ready-to-hand thing the depravity
καὶ οὐδὲν οὕτω ῥᾴδιον, ὡς τὸ γενέσθαι κακὸν, κἂν εἰ μὴ
and nothing so easy as the to-become evil even if not

τύχοι πρὸς ταύτην ἡμᾶς ἄγων μηδείς· σπάνιον δὲ ἡ
it-should-happen toward this us leading anyone rare but the
τοῦ ἀγαθοῦ κτῆσις καὶ πρόσαντες, κἂν εἰ πολὺ τὸ
of-the good acquisition and uphill even if much the(-thing)
μεθέλκον εἴη καὶ προκαλούμενον. Καὶ τοῦτό ἐστιν ὃ
drawing-over should-be and calling-forth and this is which
μοι δοκεῖ καὶ ὁ μακαριώτατος Ἀγγαῖος κατανοήσας ἐπὶ
to-me seems also the most-blessed Haggai having-perceived upon
τὴν θαυμασίαν ἐκείνην ἐλθεῖν καὶ ἀληθεστάτην εἰκόνα·
the wonderful that to-come and truest image
Ἐρωτήσατε, ἱερεῖς, νόμον, λέγων· Εἰ κρέας ἅγιον ἐν ἱματίῳ
ask o-priests law saying if flesh holy in garment
βρωτοῦ τινος, ἢ ποτοῦ, ἢ σκεύους ἁψάμενον εὐθὺς ἁγιάσει
of-food some or of-drink or of-vessel having-touched at-once will-sanctify
τὸ πλησιάσαν· τῶν δὲ ἀποφησάντων· Ἐρωτήσατε
the(-thing) having-approached of-them and having-denied ask
πάλιν εἰ καὶ ἀκαθαρσίᾳ τούτων τι προσομιλῆσαν, μὴ
again if also with-uncleanness of-these anything having-consorted not
παραχρῆμα μετέλαβε τοῦ μιάσματος; ὡς ἐρούντων γε
immediately partook of-the pollution as going-to-say indeed
μεταλαμβάνειν, καὶ μὴ καθαρὸν μένειν τῇ κοινωνίᾳ.
to-partake and not pure to-remain by-the communion

12 Τί τοῦτο λέγων· ὅπερ ὁ ἐμὸς λόγος· ὅτι δύσληπτον
what this saying which-very-thing the my speech that hard-to-grasp
μὲν τὸ ἀγαθὸν τῇ ἀνθρωπίνῃ φύσει, ὥσπερ καὶ πῦρ
indeed the good for-the human nature as also fire
ὕλῃ τῇ ὑγροτέρᾳ· ἕτοιμοι δὲ πρὸς τὴν τοῦ κακοῦ
for-matter the moister ready but for the of-the evil
μετουσίαν οἱ πλεῖστοι καὶ ἐπιτήδειοι, καλάμη τις πρὸς
participation the most and fit straw some toward
σπινθῆρα, οἶμαι, καὶ ἄνεμον ῥᾳδίως ἐξαπτομένη καὶ
spark I-think and wind easily being-kindled and

δαπανωμένη διὰ ξηρότητα· θᾶττον γὰρ ἄν τις ὀλίγης
being-consumed through dryness more-quickly for — someone of-little
κακίας μεταλάβοι πλουσίως ἢ ἀρετῆς βαθείας κατὰ
vice would-partake richly than of-virtue deep by
μικρόν. Ἐπεὶ καὶ μέλιτι μὲν μικρὸν ἀψίνθιον ὡς τάχιστα
little since also to-honey indeed small wormwood very quickly
μεταδίδωσι τοῦ πικροῦ· μέλι δὲ οὐδὲ τὸ διπλάσιον ἀψινθίῳ
imparts of-the bitter honey but not-even the double to-wormwood
τῆς ἑαυτοῦ γλυκύτητος· καὶ μικρὰ μὲν ὑποσπασθεῖσα ψηφὶς
of-the its-own sweetness and small indeed having-been-drawn-out pebble
ποταμὸν ὅλον ἑλκύσειεν ἂν ἐπὶ τὸ πρανές· ἐπισχεῖν δὲ ἢ
river whole would-draw — to the downhill to-hold-back but or
ἀνακόψαι μόλις ἂν δυνηθείη καὶ τὸ καρτερώτατον ἔρυμα.
to-check scarcely — would-be-able even the strongest barrier
Πρῶτον μὲν δὴ τοῦτο, ὧν εἴπομεν, εὐλαβεῖσθαι 13
first indeed indeed this of-what-things we-said to-beware-of
ἄξιον, μὴ φαινώμεθα τῆς θαυμασίας ἀρετῆς κακοὶ ζωγράφοι,
worthy lest we-appear of-the wonderful virtue bad painters
μᾶλλον δὲ ζωγράφων οὐ φαύλων ἴσως, τῶν δὲ πολλῶν
rather but of-painters not poor perhaps of-the but many
φαῦλον ἀρχέτυπον· ἢ τῆς παροιμίας μὴ πόῤῥω θέωμεν,
poor archetype or of-the proverb not far we-run
ἄλλους ἰατρεύειν ἐπιχειροῦντες αὐτοὶ βρύοντες ἕλκεσι.
others to-heal attempting ourselves teeming with-sores
Δεύτερον δὲ, εἰ καί τις ἁγνὸν ἑαυτὸν ἀπὸ πάσης 14
second and if even someone pure himself from every
ἁμαρτίας τηρήσειεν, ἢ ὡς μάλιστα, οὐκ οἶδα μὲν, εἰ καὶ
sin should-keep or as most not I-know indeed if even
τοῦτο αὔταρκες τῷ μέλλοντι τοὺς ἄλλους παιδεύειν
this sufficient for-the(-one) intending the others to-train
πρὸς ἀρετήν· οὐ γὰρ μὴ κακὸν εἶναι δεῖ μόνον τὸν τοῦτο
toward virtue not for not evil to-be must only the(-one) with-this

πεπιστευμένον, τοῦτο μὲν γὰρ καὶ τῶν ὑπὸ χεῖρα τοῖς
entrusted this indeed for even of-the(-ones) under hand for-the
πολλοῖς αἴσχιστον, ἀλλὰ καὶ τῷ ἀγαθῷ διαφέροντα, κατὰ
many most-shameful but also in-the good excelling according-to
τὴν, ἐκκλίνειν ἀπὸ κακοῦ, καὶ ποιεῖν ἀγαθὸν, κελεύουσαν
the to-turn-aside from evil and to-do good bidding
ἐντολήν· οὐδὲ τοὺς φαύλους ἐξαλεῖψαι τῆς ψυχῆς τύπους
commandment nor the base to-wipe-out of-the soul impressions
μόνον, ἀλλὰ καὶ τοὺς ἀμείνους ἐγγράψασθαι, ὡς πλέον κατ᾽
only but also the better to-inscribe so-that more in
ἀρετὴν προέχειν, ἢ ὁπόσον περίεστιν ἀξιώματι· καὶ μηδὲν
virtue to-excel than as-much-as he-surpasses in-rank and no
μέτρον εἰδέναι τοῦ καλοῦ καὶ τῆς ἀναβάσεως, μηδὲ κέρδος
measure to-know of-the good and of-the ascent nor gain
μᾶλλον τὸ κρατηθὲν ἢ ζημίαν τὸ διαφεῦγον· ἀλλ᾽
rather the(-thing) mastered than loss the(-thing) escaping but
ἐπίβασιν ἀεὶ ποιεῖσθαι τῷ ποσὶ τοῦ ἑξῆς· καὶ μὴ μέγα
stepping-stone always to-make the(-thing) at-feet of-the next and not great-thing
νομίζειν ἂν τῶν πολλῶν διαφέρωμεν, ἀλλὰ ζημίαν ἂν τῆς
to-think if than-the many we-excel but loss if of-the
ἀξίας λειπώμεθα· καὶ τῇ ἐντολῇ παραμετρεῖν, ἀλλὰ μὴ
worth we-fall-short and by-the commandment to-measure but not
τοῖς πέλας, τὸ κατορθούμενον, ἄν τε ὦσι κακοὶ,
by-the(-ones) near the(-thing) achieved whether both they-be evil
ἄν τε ἀρετῆς ἐπὶ ποσὸν ἥκοντες· καὶ μὴ μικροῖς σταθμοῖς
or both of-virtue to some-degree having-come and not with-small weights
ταλαντεύειν τὴν ἀρετὴν, τῷ μεγίστῳ, καὶ παρ᾽ οὗ
to-weigh the virtue to-the greatest and from whom
τὰ πάντα, καὶ εἰς ὃν τὰ πάντα χρεωστουμένην.
the(-things) all and to whom the(-things) all owed

Μηδὲ τὰ αὐτὰ πᾶσιν ἁρμόζειν οἴεσθαι, ὥσπερ οὐδὲ ἡλικίαι
nor the same for-all to-fit to-think just-as not-even ages
πᾶσιν αἱ αὐταὶ, οὐδὲ προσώπων χαρακτῆρες, οὐδὲ ζώων
for-all the same nor of-faces features nor of-living-things
φύσεις, οὐδὲ γῆς ποιότητες, οὐδὲ κάλλη τε καὶ μεγέθη
natures nor of-earth qualities nor beauties both and sizes
λαμπτήρων· ἀλλ᾽ ἡγεῖσθαι ἰδιώτου μὲν εἶναι κακίαν τὸ
of-luminaries but to-hold of-private-person indeed to-be vice the
φαῦλα πράσσειν, καὶ ὅσα κολάσεως ἄξια, ὧν καὶ ὁ
base-things to-do and as-many-as of-punishment worthy over-which also the
νόμος βαρὺς δεσπότης· ἄρχοντος δὲ ἢ προεστῶτος τὸ μὴ
law heavy master of-ruler but or of-one-presiding the not
ὡς ἄριστον εἶναι, καὶ ἀεὶ τῷ καλῷ προβαίνοντα, εἴπερ
as best to-be and always in-the good advancing if-indeed
μέλλοι τῷ περιόντι τῆς ἀρετῆς ἕλξειν τοὺς πολλοὺς εἰς τὸ
he-is-to by-the surplus of-the virtue to-draw the many to the
μέτριον, καὶ μὴ βίᾳ κατάρξειν, ἀλλὰ πειθοῖ προσάξεσθαι.
moderate and not by-force to-rule but by-persuasion to-bring-over
Τὸ μὲν γὰρ ἀκούσιον, πρὸς τὸ τυραννικὸν εἶναι, καὶ οὐκ
the indeed for involuntary besides the tyrannical being and not
ἐπαινετὸν, οὐδὲ μόνιμον· φιλεῖ γὰρ τὸ βιασθὲν, ὥσπερ
praiseworthy nor lasting is-wont for the(-thing) forced as
φυτὸν βίᾳ χερσὶ μετασπώμενον, εἰς ἑαυτὸ πάλιν ἀφεθὲν
plant by-force with-hands being-drawn-aside to itself again let-go
ἀνατρέχειν· τὸ δ᾽ ἐκ προαιρέσεως ἐννομώτατόν τε ἅμα
to-run-back the but from choice most-lawful both together
καὶ ἀσφαλέστατον, εὐνοίας δεσμῷ τηρούμενον. Ὅθεν δὴ
and safest of-goodwill by-bond kept whence indeed
καὶ μάλιστα ποιμαίνειν τὸ ποίμνιον ἑκουσίως, ἀλλὰ μὴ
also most to-shepherd the flock willingly but not
ἀναγκαστῶς, ὁ ἡμέτερος διακελεύεται νόμος καὶ νομοθέτης.
by-compulsion the our bids law and lawgiver

16 Ἀλλ᾽ ἔστω τις μήτε κακὸς, καὶ ἀρετῆς ἥκων εἰς τὸ
but let-be someone neither evil and of-virtue having-come to the
ἀκρότατον· οὐχ ὁρῶ, τίνα λαβὼν ἐπιστήμην, ἢ ποίᾳ
highest not I-see what having-taken knowledge or in-what
δυνάμει πιστεύσας, ταύτην ἂν θαῤῥοίη τὴν προστασίαν·
power having-trusted this — he-would-dare the presidency
τῷ ὄντι γὰρ αὕτη μοι φαίνεται τέχνη τις εἶναι τεχνῶν, καὶ
in-the reality for this to-me appears art some to-be of-arts and
ἐπιστήμη ἐπιστημῶν, ἄνθρωπον ἄγειν, τὸ πολυτροπώτατον
knowledge of-knowledges man to-lead the most-versatile
ζῷον καὶ ποικιλώτατον. Γνοίη δ᾽ ἄν τις τῇ τῶν
living-thing and most-various would-know and — someone by-the of-the
σωμάτων θεραπείᾳ, τὴν τῶν ψυχῶν ἰατρείαν ἀντεξετάσας·
bodies care the of-the souls healing having-compared
καὶ ὅσῳ μὲν ἐργώδης ἐκείνη καταμαθὼν, ὅσῳ
and by-as-much-as indeed laborious that having-learned by-as-much-as
δὲ ἡ καθ᾽ ἡμᾶς ἐργωδεστέρα προσεξετάσας, καὶ τῇ
and the according-to us more-laborious having-examined-besides and in-the
φύσει τῆς ὕλης, καὶ τῇ δυνάμει τῆς ἐπιστήμης, καὶ τῷ
nature of-the matter and in-the power of-the knowledge and in-the
τέλει τῆς ἐνεργείας τιμιωτέρα. Ἡ μὲν γὰρ περὶ σώματα
end of-the activity more-precious the(-one) indeed for about bodies
πονεῖται, καὶ τὴν ἐπίκηρον ὕλην καὶ κάτω ῥέουσαν,
toils and the perishable matter and downward flowing
πάντως λυθησομένην καὶ πεισομένην τὸ ἑαυτῆς, κἂν
altogether going-to-be-loosed and going-to-suffer the(-thing) its-own even-if
νῦν τῇ συμμαχίᾳ τῆς τέχνης κατακρατήσῃ τῆς ἐν αὐτῇ
now by-the alliance of-the art it-master the in it
στάσεως· ἢ γὰρ νόσος ἢ χρόνος ἔλυσεν, εἴξασαν τῇ
faction either for disease or time loosed having-yielded to-the
φύσει, καὶ τοὺς ἰδίους ὅρους οὐχ ὑπερβαίνουσαν.
nature and the own bounds not overstepping

Τῇ δὲ περὶ ψυχὴν ἡ σπουδὴ, τὴν ἐκ Θεοῦ καὶ θείαν, 17
for-the but about soul the zeal the(-one) from God and divine
καὶ τῆς ἄνωθεν εὐγενείας μετέχουσαν, καὶ πρὸς ἐκείνην
and of-the from-above nobility partaking and toward that
ἐπειγομένην, εἰ καὶ τῷ χείρονι συνεδέθη· τάχα μὲν καὶ
hastening if even to-the worse it-was-bound-together perhaps indeed also
δι' ἄλλας αἰτίας, ἃς μόνος οἶδεν ὁ συνδήσας Θεὸς,
for other causes which alone knows — having-bound-together God
καὶ εἴ τις ἐκ Θεοῦ τὰ τοιαῦτα ἐσοφίσθη μυστήρια· ὅσον
and if anyone from God the such was-made-wise mysteries as-far-as
δ' οὖν ἐμὲ γινώσκειν καὶ τοὺς κατ' ἐμὲ, δυοῖν ἕνεκεν·
but anyway me to-know and the(-ones) according-to me of-two for-the-sake
ἑνὸς μὲν, ἵνα δι' ἀγῶνος καὶ πάλης, τῆς πρὸς τὰ
one indeed that through contest and wrestling the toward the(-things)
κάτω, τῆς ἄνω δόξης κληρονομήσειεν, ὥσπερ χρυσὸς
below of-the above glory it-may-inherit as gold
πυρὶ, τοῖς τῇδε βασανισθεῖσα, καὶ ἀρετῆς ἆθλον,
by-fire by-the(-things) here having-been-tested and of-virtue prize
ἀλλὰ μὴ Θεοῦ δῶρον μόνον ἔχῃ τὰ ἐλπιζόμενα·
but not of-God gift only it-may-have the(-things) being-hoped-for
καὶ τοῦτο δὲ ἦν ἄρα τῆς ἄκρας ἀγαθότητος, ποιῆσαι τὸ
and this but was then of-the highest goodness to-make the
ἀγαθὸν καὶ ἡμέτερον, οὐ φύσει μόνον κατασπειρόμενον,
good also ours not by-nature only being-sown
ἀλλὰ καὶ προαιρέσει γεωργούμενον, καὶ τοῖς ἐπ' ἄμφω
but also by-choice being-cultivated and by-the toward both
τοῦ αὐτεξουσίου κινήμασιν· ἑτέρου δὲ ὡς ἂν καὶ τὸ
of-the free-will movements of-other but that — even the
χεῖρον ἑλκύσειε πρὸς ἑαυτὴν καὶ ἄνω θείη, λύσασα
worse it-might-draw toward itself and up might-set having-loosed
κατὰ μικρὸν τῆς παχύτητος· ἵν', ὅπερ ἐστὶ Θεὸς ψυχῇ,
by little of-the thickness that what is God to-soul

τοῦτο ψυχὴ σώματι γένηται παιδαγωγήσασα δι᾽ ἑαυτῆς
this soul to-body may-become having-trained through itself
τὴν ὑπηρέτιν ὕλην, καὶ οἰκειώσασα Θεῷ τὸ ὁμόδουλον.
the serving matter and having-made-akin to-God the fellow-servant
18 Χώρας, καὶ καιροὺς, καὶ ἡλικίας, καὶ ὥρας, καὶ τὰ τοιαῦτα
lands and seasons and ages and hours and the such-things
ὁ ἰατρὸς ἐπισκέψεται· φαρμακεύσει τε καὶ διαιτήσει, καὶ
the physician will-consider will-drug both and will-diet and
τηρήσει τὰ βλαβερὰ, ὡς ἂν μὴ ἀντιβῆναι τῇ τέχνῃ
will-watch-for the harmful-things that — not to-oppose the art
τὰς τῆς ἀῤῥωστίας ἐπιθυμίας· καὶ που καὶ καύσεσι, καὶ
the of-the sickness desires and perhaps also with-cauteries and
τομαῖς, καὶ τοῖς αὐστηροτέροις τῆς θεραπείας, ἔστιν ὅτε
with-incisions and with-the harsher of-the treatment there-is when
καὶ ἐφ᾽ ὧν χρήσεται· ὧν οὔπω τοσοῦτον οὐδὲν, κἂν
also on whom he-will-use of-which not-yet so-great anything even-if
ἐπίπονα σφόδρα καὶ χαλεπὰ φαίνηται, ὅσον ἤθη, καὶ
laborious very and grievous they-appear as-much-as characters and
πάθη, καὶ βίους, καὶ προαιρέσεις, καὶ εἴ τι ἄλλο τοιοῦτο
passions and lives and choices and if anything other such
τῶν ἐν ἡμῖν, κατοπτεῦσαί τε καὶ ἰατρεῦσαι, καὶ πᾶν
of-the(-things) in us to-observe both and to-heal and all
ὅσον θηριῶδες καὶ ἄγριον ἐξορίσαντας τῆς συζυγίας τῆς
as-much-as beastly and savage having-banished from-the union the
ἡμετέρας, πᾶν ὅσον ἥμερον καὶ Θεῷ φίλον ἀντεισαγαγεῖν
our all as-much-as gentle and to-God dear to-bring-in-instead
τε καὶ βεβαιώσασθαι, καὶ βραβεῦσαι δικαίως ψυχῇ τε
both and to-confirm and to-arbitrate justly for-soul both
καὶ σώματι· μὴ τῷ χείρονι τὸ κρεῖττον δυναστεύεσθαι
and body not by-the worse the better to-be-dominated
συγχωρήσαντας, ἥπερ ἀδικιῶν ἡ μείζιστη· τῷ δὲ ἄρχοντι
having-allowed which of-injustices the greatest to-the but ruling

καὶ ἡγεμονικῷ τὸ τῇ φύσει δεύτερον ὑποτάξαντας· ὥσπερ
and governing the by-the nature second having-subjected just-as
δὴ νόμος θεῖος, καὶ κάλλιστα ἔχων ἐπὶ πάσης αὐτοῦ τῆς
indeed law divine and most-beautifully holding over all his-own the
κτίσεως, ὅση τε ὁρατὴ, καὶ ὅση ὑπὲρ τὴν αἴσθησιν.
creation as-much-as both visible and as-much-as beyond the sense
Σκοπῶ δὲ κἀκεῖνο, ὅτι ἐκείνων μὲν ἕκαστον ὧν 19
I-consider and that-also that of-those indeed each of-which
ἀπηριθμησάμην ὡς τῷ θεραπευτῇ τηρουμένων ὅπως ἔχει
I-enumerated as for-the healer being-watched as it-has
φύσεως, οὕτω μένει καὶ οὐδὲν ἀντιτεχνᾶται παρ' ἑαυτοῦ
of-nature so remains and nothing contrives-against from itself
πανούργως, οὐδ' ἀντισοφίζεται τοῖς παρὰ τῆς τέχνης
knavishly nor counter-sophisticates the(-things) from the art
προσαγομένοις· ἀλλὰ καὶ περιΐστησι μᾶλλον τὴν ὕλην ἡ
being-applied but even brings-round rather the matter the
ἰατρεία· πλὴν εἴ που βραχεῖά τις παρεμπέσοι τοῦ
healing except if perhaps brief some should-fall-in of-the(-one)
κάμνοντος ἀταξία, ἣν καὶ φυλάξαι καὶ ἀνακόψαι οὐ
suffering disorder which both to-guard-against and to-check not
χαλεπόν. Ἡμῖν δὲ ἡ σύνεσις καὶ τὸ φίλαυτον, καὶ τὸ
grievous for-us but the understanding and the self-love and the
νικᾶσθαι ῥᾳδίως μήτ' εἰδέναι, μήτ' ἀνέχεσθαι, μέγιστον
to-be-overcome easily neither to-know nor to-endure greatest
πρὸς ἀρετήν ἐστιν ἐμπόδιον, καὶ οἷόν τις παράταξις κατὰ
toward virtue is hindrance and as-it-were some battle-line against
τῶν συμμαχούντων γίνεται· καὶ ὅσην εἰσφέρειν ἔδει
the(-ones) fighting-alongside becomes and as-much to-bring-in it-was-needful
σπουδὴν γυμνοῦν τὴν νόσον τοῖς θεραπεύουσι, τοσαύτην
zeal to-lay-bare the disease to-the(-ones) healing so-much

ὥστε τὴν ἰατρείαν φεύγειν εἰσφερόμεθα, καί ἐσμεν ἀνδρεῖοι
so-as the healing to-flee we-bring-in and we-are brave
καθ' ἑαυτῶν, καὶ κατὰ τῆς ὑγείας ἡμῶν ἐπιστήμονες.
against ourselves and against the health our skilled
20 Ἢ γὰρ δουλοπρεπῶς τὴν ἁμαρτίαν ἐκλέψαμεν, ὥσπερ
either for slavishly the sin we-hid-by-stealth as
τι πάθος ὕπουλον καὶ κακόηθες ἐν τῷ βάθει τῆς ψυχῆς
some suffering festering and malignant in the depth of-the soul
συγκαλύπτοντες, ὡς καὶ τὸν μέγαν λήσοντες ὀφθαλμὸν
covering-up as even the great going-to-escape eye
τοῦ Θεοῦ καὶ τῆς δίκης, ἂν τοὺς ἀνθρώπους λάθωμεν· ἢ
— *of-God and of-the justice if the men we-escape or*
προφασιζόμεθα προφάσεις ἐν ἁμαρτίαις, λόγους συνηγόρους
we-make excuses in sins words advocates
τοῖς πάθεσιν ἀνευρίσκοντες· ἢ τὰς ἀκοὰς ἀποφράξαντες
for-the passions finding or the hearings having-stopped
ἀσπίδος κωφῆς καὶ τὰ ὦτα βυούσης τρόπον, μὴ ἀκοῦσαι
of-asp deaf and the ears stopping in-manner not to-hear
φωνῆς ἐπᾳδόντων φιλονεικοῦμεν, μηδὲ φαρμακευθῆναι
voice of-charmers we-contend nor to-be-drugged
σοφίας φαρμάκοις, οἷς ἀῤῥωστία ψυχῆς θεραπεύεται· ἢ
of-wisdom by-drugs by-which sickness of-soul is-healed or
τὸ τελευταῖον, οἵ γε τολμηρότεροι ἡμῶν καὶ γενναιότεροι,
the last who indeed bolder of-us and nobler
καὶ φανερῶς ἀναισχυντοῦμεν πρός τε τὴν ἁμαρτίαν καὶ τοὺς
even openly we-are-shameless toward both the sin and the
ταύτης θεραπευτὰς, γυμνῇ τῇ κεφαλῇ, τὸ δὴ λεγόμενον,
of-this healers with-bare the head the indeed being-said
χωροῦντες πρὸς πᾶσαν παρανομίαν· ὦ τῆς παραπληξίας,
going toward every lawlessness O of-the madness
ἢ εἴ τι ἄλλο τῷ τοιούτῳ πάθει κυριώτερον ὄνομα!
or if something other for-the such suffering more-proper name

καὶ οὓς ἀγαπᾷν ὡς εὐεργέτας ἐχρῆν, τούτους ὡς
and whom to-love as benefactors it-was-needful these as
ἐχθροὺς ἀμυνόμεθα, μισοῦντες ἐν πύλαις ἐλέγχοντας, καὶ
enemies we-ward-off hating in gates reproving and
λόγον ὅσιον βδελυσσόμενοι· καὶ οἰόμεθα μᾶλλον πολεμήσειν
word holy abhorring and we-think rather to-war-against
τοὺς ἡμῖν εὔνους, ἂν ὅτι μάλιστα ἡμᾶς αὐτοὺς κακῶς
the(-ones) to-us well-disposed if as most us ourselves badly
δράσωμεν, ὥσπερ οἱ τῶν ἰδίων σαρκῶν ἁπτόμενοι
we-treat as the(-ones) of-the own fleshes touching
τὰς τῶν πέλας δαπανᾷν νομίζοντες.
the(-fleshes) of-the(-ones) near to-consume thinking

ORATION 2, 21–30 · THE HEALING, AND CHRIST'S ECONOMY

The physician of souls aims to give the soul wings, to keep or restore God's image in it, and to make man God. For this came the Law, the prophets, and Christ: the Godhead emptied, the flesh assumed, God mingled with flesh through the soul. Each part of Christ's life answers part of the Fall: the birth the molding, the Virgin the woman, Bethlehem Eden, the tree the tree, his hands the hand stretched out, his death our death. The clergy serve this healing. Doctors toil to add days to some man's life; the priest works for an immortal soul, among men and women, young and old, rich and poor, and some need the goad, others the bridle.

Ταῦτά ἐστιν, οἷς ἐγὼ τὴν καθ' ἡμᾶς ἰατρικὴν τῆς 21
these-things are by-which I the according-to us medicine than-the
περὶ τὰ σώματα ἐργωδεστέραν τίθεμαι μακρῷ, καὶ διὰ
about the bodies more-laborious I-set by-far and because-of
τοῦτο τιμιωτέραν· καὶ ὅτι ἐκείνη μὲν, ὀλίγα τῶν
this more-precious and that that indeed few-things of-the(-things)
ἐν τῷ βάθει κατοπτευούσῃ, περὶ τὸ φαινόμενον ἡ πλείων
in the depth observing about the apparent the greater

τῆς πραγματείας· ἡμῖν δὲ περὶ τὸν κρυπτὸν τῆς καρδίας
of-the business for-us but about the hidden of-the heart
ἄνθρωπον ἡ πᾶσα θεραπεία τε καὶ σπουδὴ, καὶ πρὸς
man the whole healing both and zeal and toward
τὸν ἔνδοθεν ἡμῖν ἀντιπολεμοῦντα καὶ ἀντιπαλαίοντα ἡ
the(-one) within us warring-against and wrestling-against the
μάχη, ὃς ἡμῖν αὐτοῖς ὅπλοις καθ' ἡμῶν χρώμενος, τὸ
battle who for-us ourselves with-weapons against us using the
δεινότατον, τῷ τῆς ἁμαρτίας θανάτῳ δίδωσι. Πρὸς οὖν
most-terrible to-the of-the sin to-death gives toward therefore
ταῦτα πολλῆς μὲν καὶ παντελοῦς τῆς πίστεως, μείζονος
these-things of-much indeed and complete of-the faith greater
δὲ τῆς παρὰ Θεοῦ συνεργίας, οὐκ ὀλίγης δὲ τῆς ἡμετέρας
but of-the from God co-operation not little but of-the our
ἀντιτεχνήσεως (ὥς γε ἐμαυτὸν πείθω), χρεία, τῆς
counter-contrivance as indeed myself I-persuade need of-the(-one)
καὶ λόγῳ καὶ ἔργῳ θεωρουμένης, εἰ δεῖ καλῶς ἡμῖν
both in-word and in-deed being-contemplated if it-is-necessary well for-us
θεραπεύεσθαι καὶ ἀποκαθαίρεσθαι, καὶ ὡς πλείστου ἀξίας
to-be-healed and to-be-cleansed and as of-most worth
εἶναι, τὸ τιμιώτατον ὧν ἔχομεν, τὰς ψυχάς.
to-be the most-precious of-what-things we-have the souls

22 Τά γε μὴν ἀμφοτέρων τῶν θεραπειῶν τέλη, τοῦτο γὰρ
the indeed however of-both of-the treatments ends this for
ἡμῖν εἰς τὴν ἐξέτασιν ἔτι λείπεται, τῇ μὲν ὑγίειαν,
for-us into the examination still is-left for-the(-one) indeed health
ἢ εὐεξίαν σαρκὸς, ἢ οὖσαν φυλάξαι, ἢ ἀπελθοῦσαν
or good-condition of-flesh either being to-guard or having-departed
ἀνακαλέσασθαι, ὧν οὔπω δῆλον, εἴ τι συνοίσει τοῖς
to-recall of-which not-yet clear if anything will-profit the(-ones)
κεκτημένοις· ἐπεὶ καὶ τὰ ἐναντία πολλάκις πλείω τοὺς
having-acquired since even the opposites often more the(-ones)

ἔχοντας ὤνησεν, ὥσπερ πενίαι τε καὶ πλοῦτοι, δόξαι τε
having benefited as poverties both and riches glories both
καὶ ἀδοξίαι, ταπεινότητες καὶ λαμπρότητες, καὶ ὅσα
and ingloriousnesses lowlinesses and splendors and as-many-as
ἐν μέσῳ κείμενα κατὰ τὴν φύσιν, καὶ οὐδὲν μᾶλλον
in middle lying according-to the nature and nothing rather
τῇδε ἢ τῇδε νεύοντα, τῇ χρήσει καὶ τῇ προαιρέσει
this-way than this-way inclining by-the use and by-the choice
τῶν κεκτημένων τὸ βέλτιον ἢ τὸ χεῖρον λαμβάνει·
of-the(-ones) having-acquired the better or the worse takes
τῇ δὲ τὸ προκείμενον πτερῶσαι ψυχὴν, ἁρπάσαι
for-the(-other) but the(-thing) set-before to-wing soul to-snatch
κόσμου, καὶ δοῦναι Θεῷ, καὶ τὸ κατ᾽ εἰκόνα ἢ
from-world and to-give to-God and the according-to image either
μένον τηρῆσαι, ἢ κινδυνεῦον χειραγωγῆσαι, ἢ διαῤῥυὲν
remaining to-keep or being-in-danger to-lead-by-the-hand or having-flowed-away
ἀνασώσασθαι, εἰσοικίσαι τε τὸν Χριστὸν ἐν ταῖς καρδίαις
to-recover to-make-dwell both — Christ in the hearts
διὰ τοῦ Πνεύματος· καὶ τὸ κεφάλαιον, Θεὸν ποιῆσαι,
through the Spirit and the sum God to-make
καὶ τῆς ἄνω μακαριότητος, τὸν τῆς ἄνω συντάξεως.
and of-the above blessedness the(-one) of-the above company
Τοῦτο ἡμῖν ὁ παιδαγωγὸς βούλεται νόμος· τοῦτο οἱ μέσοι 23
this for-us the tutor wishes law this the between
Χριστοῦ καὶ νόμου προφῆται· τοῦτο ὁ τοῦ πνευματικοῦ
Christ and law prophets this the of-the spiritual
νόμου τελειωτὴς καὶ τὸ τέλος Χριστός· τοῦτο ἡ κενωθεῖσα
law perfecter and the end Christ this the emptied
θεότης· τοῦτο ἡ προσληφθεῖσα σάρξ· τοῦτο ἡ καινὴ μίξις,
godhead this the assumed flesh this the new mixture
Θεὸς καὶ ἄνθρωπος, ἓν ἐξ ἀμφοῖν, καὶ δι᾽ ἑνὸς ἀμφότερα.
God and man one from both and through one both

Διὰ τοῦτο Θεὸς σαρκὶ διὰ μέσης ψυχῆς ἀνεκράθη, καὶ
because-of this God with-flesh through mediating soul was-blended and
συνεδέθη τὰ διεστῶτα τῇ πρὸς ἄμφω τοῦ
were-bound-together the(-things) standing-apart by-the toward both of-the(-one)
μεσιτεύοντος οἰκειότητι· καὶ πάντα ὑπὲρ πάντων ἦλθεν
mediating kinship and all-things for all came
εἰς ἕν, καὶ ὑπὲρ ἑνὸς τοῦ προπάτορος· ἡ ψυχὴ διὰ τὴν
into one and for one the forefather the soul for the(-one)
παρακούσασαν, ἡ σὰρξ διὰ τὴν ὑπουργήσασαν καὶ
having-disobeyed the flesh for the(-one) having-served and
συγκατακριθεῖσαν· ἡ μὲν ψυχὴν, ἡ δὲ σάρκα·
having-been-condemned-with the(-one) indeed soul the(-other) but flesh
ὁ Χριστὸς διὰ τὸν Ἀδὰμ τὸν γενόμενον ὑπὸ τὴν
— Christ for — Adam the(-one) having-come under the
ἁμαρτίαν, ὁ κρείττων ἁμαρτίας καὶ ὑψηλότερος.
sin the(-one) stronger than-sin and higher

24 Διὰ τοῦτο ἀντεισήχθη τῷ παλαιῷ τὸ νέον· καὶ
because-of this was-brought-in-instead for-the old the new and
διὰ πάθους ὁ παθὼν ἀνεκλήθη, καὶ ὑπὲρ ἑκάστου
through suffering the(-one) having-suffered was-recalled and for each
τῶν ἡμετέρων ἕκαστον τοῦ ὑπὲρ ἡμᾶς ἀντεδόθη·
of-the our each of-the(-one) above us was-given-in-return
καὶ γέγονε καινὸν μυστήριον ἡ περὶ τὸν πεσόντα
and has-become new mystery the about the(-one) having-fallen
δι' ἀπείθειαν ἐκ φιλανθρωπίας οἰκονομία. Διὰ
through disobedience from love-to-man economy because-of
τοῦτο γέννησις καὶ Παρθένος· διὰ τοῦτο φάτνη καὶ
this birth and Virgin because-of this manger and
Βηθλεέμ· ἡ γέννησις ὑπὲρ τῆς πλάσεως· ἡ Παρθένος
Bethlehem the birth for the molding the Virgin
ὑπὲρ τῆς γυναικός· ἡ Βηθλεὲμ διὰ τὴν Ἐδέμ· ἡ φάτνη
for the woman — Bethlehem for — Eden the manger

διὰ τὸν παράδεισον· τὰ μικρὰ καὶ φαινόμενα ὑπὲρ
for the paradise the(-things) small and appearing for
τῶν μεγάλων καὶ κρυπτομένων. Διὰ τοῦτο ἄγγελοι
the(-things) great and being-hidden because-of this angels
δοξάζοντες τὸν οὐράνιον, εἶτα ἐπίγειον· καὶ ποιμένες
glorifying the heavenly then earthly and shepherds
δόξαν ὁρῶντες ἐπὶ τῷ ἀμνῷ καὶ ποιμένι· καὶ ἀστὴρ
glory seeing upon the lamb and shepherd and star
ἡγούμενος, καὶ μάγοι προσπίπτοντες καὶ δωροφοροῦντες,
leading and magi falling-down and bearing-gifts
ἵν' εἰδωλολατρεία καταλυθῇ. Διὰ τοῦτο Ἰησοῦς
that idolatry may-be-destroyed because-of this Jesus
βαπτιζόμενος, καὶ ἄνωθεν μαρτυρούμενος, καὶ νηστεύων,
being-baptized and from-above being-witnessed and fasting
καὶ πειραζόμενος, καὶ νικῶν τὸν νικήσαντα. Διὰ
and being-tempted and conquering the(-one) having-conquered because-of
τοῦτο δαίμονες ἐλαυνόμενοι, καὶ νόσοι θεραπευόμεναι, καὶ
this demons being-driven and diseases being-healed and
τὸ μέγα κήρυγμα μικροῖς ἐγχειριζόμενον καὶ κατορθούμενον.
the great proclamation to-small being-entrusted and being-accomplished
Διὰ τοῦτο ἔθνη φρυασσόμενα, καὶ λαοὶ μελετῶντες 25
because-of this nations raging and peoples devising
κενά· διὰ τοῦτο ξύλον κατὰ τοῦ ξύλου, καὶ κατὰ τῆς
vain-things because-of this tree against the tree and against the
χειρὸς χεῖρες, τῆς ἀκρατῶς ἐκταθείσης αἱ γενναίως
hand hands of-the(-one) incontinently stretched-out the(-ones) nobly
ταθεῖσαι· τῆς ἀνειμένης αἱ τοῖς ἥλοις δεθεῖσαι·
stretched of-the(-one) let-loose the(-ones) with-the nails bound
τῆς ἐκβαλούσης Ἀδὰμ αἱ τὰ πέρατα οἰκειούμεναι.
of-the(-one) having-cast-out Adam the(-ones) the ends gathering-to-themselves
Διὰ τοῦτο ὕψος κατὰ τοῦ πτώματος· καὶ χολὴ κατὰ τῆς
because-of this height against the fall and gall against the

γεύσεως, καὶ στέφανος ἀκάνθινος κατὰ τοῦ πονηροῦ κράτους,
tasting and crown of-thorns against the wicked power
καὶ θάνατος κατὰ τοῦ θανάτου, καὶ σκότος ὑπὲρ τοῦ φωτὸς,
and death against the death and darkness for the light
καὶ ταφὴ κατὰ τῆς εἰς γῆν ἀποστροφῆς, καὶ ἀνάστασις ὑπὲρ
and burial against the into earth return and resurrection for
τῆς ἀναστάσεως. Ταῦτα πάντα παιδαγωγία τις ἦν περὶ
the resurrection these-things all training some was about
ἡμᾶς τοῦ Θεοῦ, καὶ τῆς ἀσθενείας ἰατρεία τῆς ἡμετέρας, τὸν
us — of-God and of-the weakness healing the our the
παλαιὸν Ἀδὰμ ὅθεν ἐξέπεσεν ἐπανάγουσα, καὶ τῷ ξύλῳ τῆς
old Adam whence he-fell-out bringing-back and to-the tree of-the
ζωῆς προσάγουσα, οὗ τὸ ξύλον ἡμᾶς τῆς γνώσεως, οὐ
life bringing-to from-which the tree us of-the knowledge not
κατὰ καιρὸν, οὐδ' ἐπιτηδείως μεταληφθὲν, ἠλλοτρίωσε.
according-to season nor fittingly partaken estranged
26 Ταύτης ἡμεῖς τῆς θεραπείας ὑπηρέται καὶ συνεργοὶ,
of-this we of-the treatment servants and fellow-workers
ὅσοι τῶν ἄλλων προκαθεζόμεθα· οἷς μέγα μὲν
as-many-as over-the others preside for-whom great-thing indeed
τὸ τὰ ἴδια πάθη καὶ ἀῤῥωστήματα καὶ γινώσκειν καὶ
the the own passions and sicknesses both to-know and
θεραπεύειν· μᾶλλον δὲ οὔπω μέγα, πλὴν τοῦτο λέγειν
to-heal rather but not-yet great-thing except this to-say
ἡμᾶς ἡ τῶν πολλῶν κακία πεποίηκε, τῶν ἐπὶ ταύτης
us the of-the many vice has-made of-the(-ones) upon this
ὄντων τῆς τάξεως· πολλῷ δὲ μεῖζον τὸ τὰ τῶν
being of-the rank much but greater the the(-ones) of-the
ἄλλων ἰᾶσθαι δύνασθαι καὶ ἀνακαθαίρειν ἐπιστημόνως, καὶ
others to-heal to-be-able and to-cleanse skillfully and

ὡς ἂν ἀμφοτέροις λυσιτελοίη, τοῖς τε τῆς θεραπείας
as — for-both it-might-profit for-the(-ones) both of-the treatment
χρῄζουσι καὶ τοῖς ἰατρεύειν πεπιστευμένοις.
needing and for-the(-ones) to-heal entrusted
Εἶτα οἱ μὲν τῶν σωμάτων θεραπευταὶ πόνους τε καὶ 27
then the indeed of-the bodies healers toils both and
ἀγρυπνίας καὶ φροντίδας, ἃς ἴσμεν, ἕξουσι· καὶ τὸ ἐπ᾽
sleeplessnesses and cares which we-know will-have and the upon
ἀλλοτρίαις συμφοραῖς ἰδίας καρποῦσθαι λύπας, ὡς ἔφη τις
others' misfortunes own to-reap griefs as said someone
τῶν παρ᾽ ἐκείνοις σοφῶν· καὶ τὰ μὲν αὐτοὶ μοχθοῦντες
of-the among them wise and the(-things) indeed themselves laboring
καὶ ἀνευρίσκοντες, τὰ δὲ παρ᾽ ἄλλων ἐρανιζόμενοι καὶ
and finding the(-things) but from others collecting and
συνεισφέροντες προσοίσουσι τοῖς δεομένοις· καὶ οὐδὲν
contributing they-will-bring to-the(-ones) needing and nothing
οὕτω μικρὸν αὐτοῖς ἢ εὑρεθὲν ἢ διαφυγὸν, οὐδὲ τῶν
so small to-them either found or having-escaped nor of-the
ἐλαχίστων, ὡς μὴ μέγα πρὸς τὴν τῆς ὑγιείας ῥοπὴν, ἢ τοῦ
least as not great-thing toward the of-the health turn or of-the
κινδύνου τοὐναντίον ὑποληφθῆναι· καὶ ταῦτα ὑπὲρ τίνος;
danger the-opposite to-be-supposed and these-things for what
ἵν᾽ ἄνθρωπος ζήσῃ πλείους τὰς ἐπὶ γῆν ἡμέρας, καὶ οὗτος
that man may-live more the upon earth days and this-one
οὐδὲ τῶν ἐπιεικῶν ἴσως, ἀλλὰ καὶ τῶν μοχθηροτάτων,
not-even of-the decent perhaps but also of-the most-wicked
ᾧ τὸ πάλαι τεθνάναι ἴσως ἄμεινον ἦν, ὄντι κακῷ, ἵνα
for-whom the long-ago to-have-died perhaps better was being evil that
τοῦ μεγίστου τῶν ἀῤῥωστημάτων, τῆς κακίας, ἀπαλλαγῇ·
from-the greatest of-the sicknesses of-the vice he-may-be-released
εἰ δὲ καὶ τῶν καλῶν θείημεν, ἐπὶ πόσον βιωσομένῳ;
if but even among-the good we-should-set for how-long going-to-live

τὸν ἅπαντα χρόνον; ἢ τί τῆς ἐνταῦθα κερδανοῦντι ζωῆς,
the whole time or what of-the here going-to-gain life
ἧς τὸ λυθῆναι ζητεῖν, τῶν καλῶν τὸ πρῶτον καὶ
of-which the to-be-loosed to-seek of-the good-things the first and
ἀσφαλέστατον, καὶ ἀνδρὸς ὄντως ὑγιοῦς καὶ νοῦν ἔχοντος;
safest and of-man truly healthy and sense having
28 Ἡμῖν δὲ, οἷς τὸ κινδυνευόμενόν ἐστι σωτηρία
for-us but for-whom the(-thing) being-risked is salvation
ψυχῆς, τῆς μακαρίας τε καὶ ἀθανάτου, καὶ ἀθάνατα
of-soul of-the blessed both and deathless and deathlessly
κολασθησομένης, ἢ ἐπαινεθησομένης, διὰ κακίαν ἢ ἀρετὴν,
going-to-be-punished or going-to-be-praised through vice or virtue
πόσον χρὴ δοκεῖν εἶναι τὸν ἀγῶνα, ἢ ὅσης δεῖν τῆς
how-great must seem to-be the contest or how-much to-need of-the
ἐπιστήμης ἰατρεῦσαι καλῶς, ἢ ἰατρευθῆναι, καὶ τὴν ζωὴν
knowledge to-heal well or to-be-healed and the life
μεταθέσθαι, καὶ δοῦναι τὸν χοῦν τῷ πνεύματι; Οὐ γὰρ τῶν
to-change and to-give the dust to-the spirit not for of-the
αὐτῶν οὔτε λόγων οὔτε ὁρμῶν, οὔτε τὸ θῆλυ τῷ ἄῤῥενι,
same either of-words or of-impulses or the female to-the male
οὔτε γήρᾳ νεότης, οὔτε πενίᾳ πλοῦτος, οὔτε εὐθυμῶν
or to-old-age youth or to-poverty wealth or the-cheerful
ἀθυμοῦντι, οὔτε ὁ κάμνων τῷ ὑγιαίνοντι, ἄρχοντές
to-the-despondent or the(-one) suffering to-the(-one) being-healthy rulers
τε καὶ ἀρχόμενοι, σοφοί τε καὶ ἀμαθεῖς, δειλοί τε καὶ
both and ruled wise both and ignorant cowardly both and
θρασεῖς, ὀργίλοι καὶ πρᾶοι, κατορθοῦντες καὶ πίπτοντες.
bold irascible and gentle succeeding and falling
29 Κἂν ἔτι ἀκριβῶς ἐξετάσῃς, ὅσον τὸ μέσον τῶν ἐν
and-if still accurately you-examine how-great the difference of-the(-ones) in
συζυγίαις πρὸς τοὺς ἀγάμους, κἂν τούτοις πάλιν τῶν
marriages toward the unmarried and-in these again of-the(-ones)

τῆς ἐρημίας πρὸς τοὺς κοινωνικοὺς καὶ μιγάδας· τῶν
of-the solitude toward the sociable and mixed of-the(-ones)
ἐξητασμένων καὶ διαβεβηκότων ἐν θεωρίᾳ πρὸς τοὺς
examined and having-advanced in contemplation toward the(-ones)
ἁπλῶς κατευθύνοντας, ἀστικῶν τε αὖ καὶ τῶν ἐκ
simply going-straight of-townsmen both again and of-the(-ones) from
τῆς ἀγροικίας, ἀκεραιοτέρων τε καὶ πανουργοτέρων,
the countryside of-more-guileless both and more-knavish
τῶν ἐν πράγμασι πρὸς τοὺς ἡσυχάζοντας, τῶν
of-the(-ones) in affairs toward the(-ones) keeping-quiet of-the(-ones)
μεταβολῇ πληγέντων πρὸς τοὺς εὐδρομοῦντας καὶ
by-change struck toward the(-ones) running-well and
ἀμαθεῖς τοῦ χείρονος· τούτων γὰρ ἕκαστοι πλεῖον
ignorant of-the worse of-these for each more
ἀλλήλων ἔστιν ὅτε ταῖς ἐπιθυμίαις καὶ ταῖς ὁρμαῖς
than-one-another there-is when in-the desires and in-the impulses
ἢ κατὰ τὰς τῶν σωμάτων ἰδέας διαφέροντες· εἰ δὲ
than according-to the of-the bodies forms differing if but
βούλει, τὰς τῶν στοιχείων μίξεις καὶ κράσεις, ἐξ ὧν
you-wish the of-the elements mixtures and blendings from which
συνεστήκαμεν, οὐ ῥᾴστην ἔχουσι τὴν οἰκονομίαν.
we-are-composed not easiest have the management
Ἀλλ' ὥσπερ τοῖς σώμασιν οὐ τὴν αὐτὴν φαρμακείαν τε καὶ 30
but just-as to-the bodies not the same drugging both and
τροφὴν προσφέρονται, ἄλλοι δὲ ἄλλην, ἢ εὐεκτοῦντες ἢ
food they-apply others but other either being-in-good-health or
κάμνοντες, οὕτω καὶ τὰς ψυχὰς διαφόρῳ λόγῳ καὶ ἀγωγῇ
suffering so also the souls with-different word and training
θεραπεύονται. Μάρτυρες δὲ τῆς θεραπείας, ὧν καὶ
are-healed witnesses and of-the treatment of-whom also
τὰ πάθη· τοὺς μὲν ἄγει λόγος, οἱ δὲ ῥυθμίζονται
the sufferings the(-ones) indeed leads word the(-others) but are-regulated

παραδείγματι· οἱ μὲν δέονται κέντρων, οἱ δὲ
by-example the(-ones) indeed need goads the(-others) but
χαλινοῦ. Οἱ μὲν γὰρ εἰσι νωθεῖς, καὶ δυσκίνητοι πρὸς
bridle the(-ones) indeed for are sluggish and hard-to-move toward
τὸ καλὸν, οὓς τῇ πληγῇ τοῦ λόγου διεγερτέον· οἱ δὲ
the good whom by-the blow of-the word one-must-rouse the(-others) but
θερμότεροι τοῦ μετρίου τῷ πνεύματι, καὶ δυσκάθεκτοι ταῖς
hotter than-the moderate in-the spirit and hard-to-restrain in-the
ὁρμαῖς, καθάπερ πῶλοι γενναῖοι πόρρω τῆς νύσσης θέοντες,
impulses just-as colts noble far-beyond the turning-post running
οὓς βελτίους ἂν ποιήσειεν ἄγχων καὶ ἀνακόπτων ὁ λόγος.
whom better — would-make choking and checking the word

ORATION 2, 31–40 · MANY REMEDIES, AND THE DANGER OF THE DOCTRINE

Some are helped by praise, others by blame; some by public reproof, others by private; some must be watched closely, others' faults overlooked; no remedy suits all, and the shepherd keeps to the royal road. Hardest of all is to dispense the word on the world, providence, the incarnation, judgment, and above all the Trinity, without falling into Sabellius's atheism, Arius's Judaism, or the polytheism of the overzealous orthodox. One must keep both the one God and the three hypostases, the Father's rank as source and the Son's equal Godhead. A mixed crowd makes this harder, for the more zealous hearers cling from reverence to what they learned at home, though a timely word may yet strike a spark in them.

31 Τοὺς μὲν ἔπαινος ὤνησε, τοὺς δὲ ψόγος, ἀμφότερα
the(-ones) indeed praise benefited the(-others) but blame both
μετὰ τοῦ καιροῦ· ἢ τοὐναντίον ἔβλαψεν ἔξω τοῦ καιροῦ
with the occasion or the-opposite harmed outside the occasion
καὶ τοῦ λόγου. Τοὺς μὲν παράκλησις κατορθοῖ, τοὺς
and the reason the(-ones) indeed exhortation sets-right the(-others)
δὲ ἐπιτίμησις· καὶ αὕτη, τοὺς μὲν ἐν τῷ κοινῷ
but rebuke and this the(-ones) indeed in the common

διελεγχομένους, τοὺς δὲ κρύβδην νουθετουμένους. Φιλοῦσι
being-refuted the(-others) but secretly being-admonished are-wont
γὰρ οἱ μὲν καταφρονεῖν τῶν ἰδίᾳ νουθετημάτων,
for the(-ones) indeed to-despise the in-private admonitions
πλήθους καταγνώσει σωφρονιζόμενοι· οἱ δὲ πρὸς
of-multitude by-condemnation being-brought-to-sobriety the(-others) but toward
τὴν ἐλευθερίαν τῶν ἐλέγχων ἀναισχυντεῖν, τῷ τῆς
the freedom of-the reproofs to-be-shameless by-the of-the
ἐπιτιμήσεως μυστηρίῳ παιδαγωγούμενοι, καὶ ἀντιδιδόντες
rebuke mystery being-trained and giving-in-return
τῆς συμπαθείας τὴν εὐπείθειαν.
for-the sympathy the obedience
Τῶν μὲν πάντα τηρεῖν ἐπιμελῶς ἀναγκαῖον μέχρι καὶ 32
of-the(-ones) indeed all-things to-watch carefully necessary as-far-as even
τῶν μικροτάτων, ὅσους τὸ οἴεσθαι λανθάνειν (ἐπειδὴ
the smallest as-many-as the to-think to-escape-notice since
τοῦτο τεχνάζουσιν) ὡς σοφωτέρους ἐφύσησε· τῶν δ'
this they-contrive as wiser puffed-up of-the(-others) but
ἔστιν ἃ καὶ παρορᾷν ἄμεινον, ὥστε ὁρῶντας μὴ
there-are what-things also to-overlook better so-that seeing not
ὁρᾷν, καὶ ἀκούοντας μὴ ἀκούειν, κατὰ τὴν παροιμίαν, ἵνα
to-see and hearing not to-hear according-to the proverb that
μὴ πρὸς ἀπόνοιαν αὐτοὺς ἐρεθίζωμεν, τῷ φιλοπόνῳ τῶν
not to desperation them we-may-provoke by-the laboriousness of-the
ἐλέγχων καταβαπτίζοντες, καὶ τέλος πρὸς πάντα ποιήσωμεν
reproofs drowning and finally toward all-things we-may-make
τολμηροὺς, τὸ τῆς πειθοῦς φάρμακον τὴν αἰδῶ διαλύσαντες.
bold the of-the persuasion drug the shame having-dissolved
Καὶ μέντοι καὶ ὀργιστέον τισὶν, οὐκ ὀργιζομένους·
and indeed also one-must-be-angry with-some not being-angry
καὶ ὑπεροπτέον, οὐχ ὑπερορῶντας· καὶ ἀπογνωστέον,
and one-must-disdain not disdaining and one-must-despair

οὐκ ἀπογινώσκοντας, ὅσων τοῦτο ἡ φύσις ἐπιζητεῖ.
not despairing as-many-as this the nature requires
Καὶ ἄλλους ἐπιεικείᾳ θεραπευτέον καὶ ταπεινότητι, καὶ
and others by-gentleness one-must-heal and by-lowliness and
τῷ συμπροθυμεῖσθαι δὴ περὶ τὰς χρηστοτέρας ἐλπίδας.
by-the to-share-eagerness indeed about the better hopes
Καὶ τοὺς μὲν νικᾷν, τῶν δὲ ἡττᾶσθαι πολλάκις
and the(-ones) indeed to-conquer by-the(-others) but to-be-defeated often
λυσιτελέστερον· καὶ τῶν μὲν εὐπορίαν καὶ δυναστείαν,
more-profitable and of-the(-ones) indeed prosperity and power
τῶν δὲ πενίαν ἢ δυσπραγίαν, ἢ ἐπαινεῖν ἢ ἀπεύχεσθαι.
of-the(-others) but poverty or misfortune either to-praise or to-pray-against
33 Οὐ γὰρ ὥσπερ ἐπὶ τῆς ἀρετῆς ἔχει καὶ τῆς κακίας,
not for as in-the-case-of the virtue it-is and of-the vice
τὴν μὲν καλλίστην εἶναι καὶ ὠφελιμωτάτην ἀεὶ καὶ
the(-one) indeed most-beautiful to-be and most-beneficial always and
πᾶσι, τὴν δὲ χειρίστην τε καὶ βλαβερωτάτην· οὕτω
for-all the(-other) but worst both and most-harmful so
καὶ τῆς φαρμακείας τῆς ἡμετέρας, ἕν τι καὶ τὸ
also of-the drugging the our one some-thing and the
αὐτὸ ὑγιεινότατον, ἢ ἐπισφαλέστατον ἀεὶ καὶ τοῖς αὐτοῖς
same healthiest or most-perilous always and for-the same
ἀποδέδεικται· οἷον τὸ αὐστηρὸν, ἢ τὸ πρᾶον, ἢ τῶν ἄλλων
has-been-shown as the severe or the gentle or of-the others
ὧν ἀπηριθμησάμην ἕκαστον. Ἀλλὰ τοῖς μὲν τοῦτο
which I-enumerated each but for-the(-ones) indeed this
καλὸν καὶ χρήσιμον, τοῖς δὲ τοὐναντίον πάλιν, ὅπως
beautiful and useful for-the(-others) but the-opposite again as
ἂν, οἶμαι, συμπίπτωσιν οἵ τε καιροὶ καὶ τὰ πράγματα,
— I-think coincide the both occasions and the affairs
καὶ ὁ τῶν θεραπευομένων ἐπιδέχηται τρόπος.
and the of-the(-ones) being-healed admits manner

Ἃ πάντα μὲν διελέσθαι λόγῳ, καὶ συνιδεῖν ἐπὶ τὸ
which-things all indeed to-distinguish by-word and to-see-together to the
ἀκριβέστατον, ὥστε καὶ κεφαλαίῳ τὴν θεραπείαν περιλαβεῖν
most-exact so-that even in-sum the treatment to-comprehend
ἀμήχανον, κἂν ἐπὶ πλεῖστον ἐξίκηταί τις ἐπιμελείας
impossible even-if to most reach someone of-care
τε καὶ συνέσεως· ἐπὶ δὲ τῆς πείρας αὐτῆς καὶ τῶν
both and of-understanding upon but the experience itself and the
πραγμάτων τῷ θεραπευτῇ λόγῳ καὶ ἀνδρὶ καταφαίνεται.
affairs to-the healer word and man is-made-manifest
Καθόλου δὲ ἡμῖν ἐκεῖνο γνώριμον, ὅτι, καθάπερ τοῖς ἐπὶ 34
in-general but to-us that known that just-as for-the(-ones) upon
κάλου μετεώρου καὶ ὑψηλοῦ βαίνουσι τῇδε ἢ τῇδε ἀποκλῖναι
rope aloft and high walking this-way or this-way to-lean
οὐκ ἀσφαλὲς, οὐδὲ εἰς μικρὸν φέρουσα ἡ ῥοπὴ, κἂν μικρὰ
not safe not-even to small leading the inclination even-if small
φαίνηται, ἀσφάλεια δὲ αὐτοῖς ἡ ἰσορρόπια καθίσταται·
it-appear safety but for-them the equipoise is-established
οὕτω κἀν τούτοις ὁποτέρωσε νεύσῃ τις, εἴτε διὰ
so also-in these to-whichever-side incline someone whether through
κακίαν, εἴτε δι' ἀμάθειαν, κίνδυνος οὐχ ὁ τυχὼν αὐτῷ
vice or through ignorance danger not the chance-one for-him
τε καὶ τοῖς ἀγομένοις τοῦ τῆς ἁμαρτίας πτώματος.
both and for-the(-ones) being-led of-the of-the sin fall
Ἀλλ' ὁδῷ βασιλικῇ πορευτέον ὄντως, καὶ περισκεπτέον,
but by-road royal one-must-go truly and one-must-look-around
μήτε εἰς δεξιὰ μήτε εἰς ἀριστερὰ, καθὼς αἱ Παροιμίαι
neither to right nor to left as the Proverbs
φασὶν, ἐκκλίνοντας. Οὕτω μὲν δὴ τὰ τῶν παθῶν ἔχει
say turning-aside so indeed indeed the(-things) of-the passions are
τῶν ἡμετέρων, καὶ τοσοῦτον ἐνταῦθα τὸ ἔργον τῷ ἀγαθῷ
of-the our and so-great here the work for-the good

ποιμένι, τῷ γνωστῶς γνωσομένῳ ψυχὰς ποιμνίου,
shepherd for-the(-one) knowingly going-to-know souls of-flock
καὶ ἀφηγησομένῳ κατὰ λόγον ποιμαντικῆς, τῆς γε
and going-to-lead according-to reason of-shepherding the indeed
ὀρθῆς καὶ δικαίας, καὶ τοῦ ἀληθινοῦ ποιμένος ἡμῶν ἀξίας.
right and just and of-the true shepherd our worthy
35 Αὐτὴν δὲ τὴν τοῦ λόγου διανομὴν, ἵνα τελευταῖον εἴπω
itself but the of-the word distribution that last I-may-say
τὸ πρῶτον τῶν ἡμετέρων, τοῦ θείου λέγω καὶ ὑψηλοῦ,
the first of-the our of-the divine I-mean and lofty
καὶ ὃν νῦν πάντες φιλοσοφοῦσιν, εἰ μέν τις ἄλλος
and which now all philosophize if indeed anyone other
θαῤῥεῖ, καὶ πάσης διανοίας ὑπολαμβάνει, θαυμάζω τοῦτον
is-bold and of-every understanding supposes I-wonder-at this-one
ἐγὼ τῆς συνέσεως, ἵνα μὴ λέγω τῆς εὐηθείας· ἐμοὶ δ'
I for-the intelligence that not I-may-say for-the simplicity to-me but
οὖν πρᾶγμα φαίνεται οὐ τῶν φαυλοτάτων, οὐδὲ ὀλίγου
anyway thing appears not of-the meanest nor of-little
τοῦ πνεύματος, διδόναι κατὰ καιρὸν ἑκάστῳ τοῦ λόγου
of-the spirit to-give according-to season to-each of-the word
τὸ σιτομέτριον, καὶ οἰκονομεῖν ἐν κρίσει τὴν ἀλήθειαν
the measure-of-grain and to-manage in judgment the truth
τῶν ἡμετέρων δογμάτων· ὅσα περὶ κόσμων ἢ κόσμου
of-the our doctrines as-many-as about worlds or world
πεφιλοσόφηται, περὶ ὕλης, περὶ ψυχῆς, περὶ νοῦ, καὶ τῶν
have-been-philosophized about matter about soul about mind and the
νοερῶν φύσεων, βελτιόνων τε καὶ χειρόνων, περὶ τῆς
intellectual natures better both and worse about the
τὰ πάντα συνδεούσης τε καὶ διεξαγούσης προνοίας,
the(-things) all binding-together both and carrying-through providence

ὅσα τε κατὰ λόγον ἀπαντᾷν δοκεῖ, καὶ ὅσα
as-many-as both according-to reason to-happen seems and as-many-as
παρὰ λόγον τὸν κάτω καὶ τὸν ἀνθρώπινον.
contrary-to reason the below and the human
Ἔτι τε ὅσα περὶ τῆς πρώτης ἡμῶν συστάσεως, καὶ 36
still and as-many-as about the first our constitution and
τῆς τελευταίας ἀναπλάσεως, τύπων τε καὶ ἀληθείας,
the last re-forming types both and truth
καὶ διαθηκῶν, καὶ Χριστοῦ παρουσίας πρώτης τε καὶ
and covenants and of-Christ coming first both and
δευτέρας, σαρκώσεώς τε καὶ παθημάτων, καὶ ἀναλύσεως,
second incarnation both and sufferings and departure
ὅσα τε περὶ ἀναστάσεως, περὶ τέλους, περὶ κρίσεως
as-many-as both about resurrection about end about judgment
καὶ ἀνταποδόσεως, σκυθρωποτέρας τε καὶ ἐνδοξοτέρας·
and requital more-gloomy both and more-glorious
καὶ τὸ κεφάλαιον ὅσα περὶ τῆς ἀρχικῆς καὶ μακαρίας
and the sum as-many-as about the original and blessed
Τριάδος ὑποληπτέον· ὅσπερ δὴ καὶ κινδύνων μέγιστος
Trinity must-be-supposed which indeed also of-dangers greatest
τοῖς φωτίζειν πεπιστευμένοις, ὡς μήτε εἰς μίαν
for-the(-ones) to-enlighten entrusted so-that neither into one
ὑπόστασιν συναιρεθέντα τὸν λόγον δέει πολυθεΐας, ψιλὰ
hypostasis having-been-contracted the word by-fear of-polytheism bare
καταλιπεῖν ἡμῖν τὰ ὀνόματα, τὸν αὐτὸν Πατέρα καὶ Υἱὸν
to-leave for-us the names the same Father and Son
καὶ ἅγιον Πνεῦμα ὑπολαμβάνουσι· μήτε εἰς τρεῖς, ἢ
and holy Spirit supposing nor into three either
ἐκφύλους καὶ ἀλλοτρίας διαιρεθέντα, ἢ ἀτάκτους καὶ
alien and foreign having-been-divided or disorderly and
ἀνάρχους, καὶ οἷον εἰπεῖν, ἀντιθέους, πρὸς κακὸν ἴσον
without-beginning and as-it-were to-say counter-gods toward evil equal

ἐκ τῶν ἐναντίων μεταπεσεῖν· ὥσπερ φυτοῦ διαστροφῆς
from the opposites to-fall-over as of-plant of-distortion
ἐπὶ θάτερα πολὺ μετακλινομένης.
to the-other-side much being-bent-over

37 Τριῶν γὰρ ὄντων τῶν νῦν περὶ τὴν θεολογίαν
three for being the now about the theology
ἀῤῥωστημάτων, ἀθεΐας, καὶ Ἰουδαϊσμοῦ, καὶ πολυθεΐας,
sicknesses of-atheism and of-Judaism and of-polytheism
ὧν τῆς μὲν Σαβέλλιος προστάτης ὁ Λίβυς ἐγένετο,
of-which of-the(-one) indeed Sabellius champion the Libyan became
τῆς δὲ Ἄρειος ὁ Ἀλεξανδρεὺς, τῆς δέ τινες
of-the(-other) but Arius the Alexandrian of-the(-other) and some
τῶν ἄγαν παρ᾽ ἡμῖν ὀρθοδόξων. Τίς ὁ ἐμὸς λόγος;
of-the(-ones) too-much among us orthodox what the my word
τῶν τριῶν ὅσον ἐστὶ βλαβερὸν διαφυγόντας, ἐν ὅροις
of-the three as-much-as is harmful having-escaped in bounds
μένειν τῆς εὐσεβείας, καὶ μήτε πρὸς τὴν Σαβελλίου ἀθεΐαν
to-remain of-the piety and neither toward the of-Sabellius atheism
ἐκ τῆς καινῆς ταύτης ἀναλύσεως ἢ συνθέσεως ὑπαχθῆναι,
from the new this analysis or synthesis to-be-led-away
μὴ μᾶλλον ἓν τὰ πάντα ἢ μηδὲν ἕκαστον εἶναι
not rather one the(-things) all than nothing each to-be
ὁριζομένους· φεύγει γὰρ εἶναι ὅπερ ἐστὶν εἰς ἄλληλα
defining flees for to-be what it-is into one-another
μεταχωροῦντα καὶ μεταβαίνοντα· ἢ σύνθετόν τινα καὶ ἄτοπον
passing and going-over or composite some and absurd
ἡμῖν Θεὸν, ὥσπερ τὰ μυθώδη τῶν ζώων σκιαγραφοῦντας
for-us God as the fabulous of-the living-things sketching
καὶ ἀναπλάττοντας· μήτε τὰς φύσεις τέμνοντας κατὰ
and re-forming nor the natures cutting according-to
τὴν Ἀρείου καλῶς ὀνομασθεῖσαν μανίαν, εἰς Ἰουδαϊκὴν
the of-Arius well named madness into Jewish

πενίαν κατακλεισθῆναι, καὶ φθόνον ἐπεισάγειν τῇ θείᾳ
poverty to-be-shut-up and envy to-bring-in to-the divine
φύσει, μόνῳ τῷ ἀγεννήτῳ τὴν θεότητα περιγράφοντας,
πικρῶς τοῖς ἱερεῦσι, καὶ ὀνειδίζοντα ὡς τὸ ὄνομα Κυρίου
bitterly the priests and reproaching that the name of-Lord
φαυλίζουσι· καὶ προστιθέντα ἐν τίσιν, ἐν τῷ προσάγειν
they-make-light-of and adding in what-things in the to-bring
πρὸς τὸ θυσιαστήριον ἄρτους ἠλισγημένους, βρώματα οὐκ
to the altar loaves polluted foods not
ἀπάργματα, καὶ ἃ μηδ' ἂν τῶν ἡγουμένων τινὶ
firstfruits and what-things not-even — of-the leaders to-anyone
προσενέγκοιεν, ἢ ἀτιμασθεῖεν ἂν προσενεγκόντες, ταῦτα
they-would-offer or would-be-dishonored — having-offered these
προσφέρειν τῷ βασιλεῖ τῶν ὅλων εὐχὴν εὐξαμένους, χωλὰ,
to-offer to-the king of-the universe vow having-vowed lame
καὶ ἄῤῥωστα, καὶ διεφθαρμένα, καὶ βέβηλα παντελῶς,
and sick and corrupted and profane altogether

καὶ ἀπόπτυστα· νῦν δὲ τῆς πρὸς τοὺς Λευΐτας τοῦ
and to-be-spat-upon now but of-the toward the Levites —
Θεοῦ διαθήκης ὑπομιμνήσκοντα, (ἣ δὲ ἦν τῆς ζωῆς καὶ
of-God covenant reminding which and was of-the life and
τῆς εἰρήνης), καὶ φόβῳ φοβεῖσθαι τὸν Κύριον, καὶ ἀπὸ
of-the peace and with-fear to-fear the Lord and from
προσώπου τοῦ ὀνόματος αὐτοῦ στέλλεσθαι. Νόμος, φησὶν,
face of-the name his to-draw-back law he-says
ἦν ἀληθείας ἐν τῷ στόματι αὐτοῦ, καὶ ἀδικία οὐχ εὑρέθη ἐν
was of-truth in the mouth his and injustice not was-found in
τοῖς χείλεσιν αὐτοῦ. Ἐν εἰρήνῃ κατευθύνων ἐπορεύθη μετ'
the lips his in peace going-straight he-walked with
ἐμοῦ, καὶ πολλοὺς ἐπέστρεψεν ἐξ ἀδικίας, ὅτι χείλη ἱερέως
me and many he-turned from injustice because lips of-priest
φυλάξεται γνῶσιν, καὶ νόμον ἐκζητήσουσιν ἐκ στόματος
will-guard knowledge and law they-will-seek from mouth
αὐτοῦ. Καὶ ἡ αἰτία ὡς τιμία τε ἅμα καὶ φοβερά! διότι
his and the cause how precious both together and fearful because
ἄγγελος Κυρίου παντοκράτορός ἐστι. Καὶ παραιτοῦμαι μὲν
angel of-Lord almighty he-is and I-beg-off indeed
τῶν ἐπὶ τούτοις ἀρῶν τὸ βλάσφημον· φοβοῦμαι δὲ τὴν
of-the upon these curses the blasphemous I-fear but the
ἀλήθειαν· ἀλλ' ὃ μέτριόν τε ἅμα εἰπεῖν καὶ συμφέρον·
truth but what moderate both together to-say and profitable
Εἰ ἔτι ἄξιον, φησὶν, ἐπιβλέψαι εἰς θυσίαν ὑμῶν, ἢ λαβεῖν
if still worthy he-says to-look upon sacrifice your or to-take
δεκτὸν ἐκ τῶν χειρῶν ὑμῶν; ὡς ἂν μάλιστα δυσχεραίνων,
acceptable from the hands your as — most being-vexed
καὶ τὴν ἱερουργίαν αὐτῶν διὰ τὴν κακίαν ἀποπεμπόμενος.
and the sacred-service their because-of the vice sending-away

62 Ζαχαρίου μὲν γὰρ ὅτ᾽ ἂν μνησθῶ, φρίσσω τὸ δρέπανον,
of-Zechariah indeed for when — I-remember I-shudder-at the sickle
ὁμοίως καὶ ἃ κατὰ τῶν ἱερέων μαρτύρεται οὗτος·
likewise also what-things against the priests testifies this-one
ἃ μὲν περὶ Ἰησοῦ τοῦ πάνυ, ἱερέως τοῦ μεγάλου,
what-things indeed about Joshua the very-one priest the great
παραδηλοῖ, ὃν περιδύσας τῷ λόγῳ τὴν ῥυπαρὰν ἐσθῆτα
he-hints whom having-stripped by-the word the filthy garment
καὶ ἀναξίαν, τὴν ἱερατικὴν καὶ λαμπρὰν περιτίθησιν·
and unworthy the priestly and bright he-puts-around
ὅσα τε ὁ ἄγγελος αὐτῷ λέγων πρὸς τὸν Ἰησοῦν
as-many-as both the angel to-him saying to — Joshua
καὶ ἐπισκήπτων πεποίηται· ταῦτα μὲν, εἰς μείζονα
and charging has-made these-things indeed to greater
καὶ ὑψηλότερα ἴσως ἢ κατὰ τοὺς πολλοὺς ἱερέας
and loftier perhaps than according-to the many priests
ἀναφερόμενα, σιωπῇ τιμάσθω· πλὴν ὅτι καὶ τούτου ἐκ δεξιῶν
being-referred in-silence let-be-honored except that also of-this-one on right
ὁ διάβολος εἱστήκει τοῦ ἀντικεῖσθαι αὐτῷ· πρᾶγμα ἐμοὶ
the devil stood of-the to-oppose him thing to-me
γοῦν οὐ μέτριον, οὐδὲ ὀλίγου φόβου καὶ φυλακῆς ἄξιον.
at-any-rate not moderate nor of-little fear and caution worthy
63 Ἃ δὲ τῶν λοιπῶν κατηγορεῖ ποιμένων ἐπιμελῶς καὶ
what-things but the remaining he-accuses shepherds carefully and
καθάπτεται, τίς οὕτω τολμηρὸς καὶ τὴν ψυχὴν ἀδαμάντινος,
attacks who so bold and in-the soul adamantine
ὥστε μὴ τρέμειν ἀκούων, καὶ αὐτὸς ἑαυτοῦ γίνεσθαι
so-as not to-tremble hearing and himself than-himself to-become
μετριώτερος; Φωνὴ, φησὶ, θρηνούντων ποιμένων, ὅτι
more-moderate voice he-says of-lamenting shepherds because
τεταλαιπώρηκεν ἡ μεγαλωσύνη αὐτῶν· φωνὴ ὠρυομένων
has-suffered-misery the greatness their voice of-roaring

λεόντων, ὅτι τάδε πεπόνθασι. Μονονοὺ κἀκούει
lions because these-things they-have-suffered all-but he-even-hears
τῶν θρήνων ὡς ἤδη παρόντων, καὶ συνθρηνεῖ τοῖς
the laments as already present and laments-with the(-ones)
πάσχουσιν. Ἔτι δὲ μικρὸν ἔμπροσθεν πληκτικώτερον καὶ
suffering still and little before more-striking and
σφοδρότερον· Ποιμαίνετε, φησὶ, τὰ πρόβατα τῆς σφαγῆς,
more-vehement shepherd he-says the sheep of-the slaughter
ἃ οἱ κτησάμενοι κατέσφαζον, καὶ οὐ μετεμελοῦντο·
which the(-ones) having-acquired slaughtered and not repented
καὶ οἱ πωλοῦντες αὐτὰ ἔλεγον· Εὐλογητὸς Κύριος,
and the(-ones) selling them said blessed Lord
καὶ πεπλουτήκαμεν· καὶ οἱ ποιμένες αὐτῶν οὐκ ἔπασχον
and we-have-become-rich and the shepherds their not suffered
οὐδὲν ἐπ᾽ αὐτοῖς. Διὰ τοῦτο οὐ φείσομαι οὐκ ἔτι ἐπὶ
anything over them because-of this not I-will-spare any longer upon
τοὺς κατοικοῦντας τὴν γῆν, λέγει Κύριος παντοκράτωρ·
the(-ones) dwelling-in the land says Lord almighty
καὶ πάλιν· Ῥομφαία, ἐξεγέρθητι ἐπὶ τοὺς ποιμένας, καὶ
and again sword be-roused against the shepherds and
πατάξατε τοὺς ποιμένας, καὶ ἐκσπάσατε τὰ πρόβατα·
smite the shepherds and draw-out the sheep
καὶ, ἐπάξω τὴν χεῖρά μου ἐπὶ τοὺς ποιμένας, καὶ
and I-will-bring the hand my upon the shepherds and
ὠργίσθη ὁ θυμός μου ἐπὶ τοὺς ποιμένας, καὶ ἐπὶ τοὺς
was-angered the wrath my upon the shepherds and upon the
ἀμνοὺς ἐπισκέψομαι· προστιθεὶς ἤδη τῇ ἀπειλῇ καὶ τοῦ
lambs I-will-visit adding already to-the threat also of-the
λαοῦ τοὺς προέχοντας. Οὕτω φιλοπόνως προσκαθέζεται
people the(-ones) prominent so laboriously he-sits-by
τῷ λόγῳ καὶ οὐδὲ ἀπαλλαγῆναι δύναται ῥᾳδίως τῶν
the word and not-even to-be-released he-is-able easily from-the

ἀπειλῶν· ὥστε δέδοικα μὴ καὶ αὐτὸς ἀπευκτὸς ὦ, πάντων
threats so-that I-fear lest also myself accursed I-be of-all
ἐξῆς μεμνημένος. Ἀλλ' ὁ μὲν Ζαχαρίας οὕτως.
in-order having-made-mention but — indeed Zechariah thus
64 Ἵνα δὲ τοὺς ἐν τῷ Δανιὴλ παραδράμωμεν πρεσβυτέρους·
that but the(-ones) in — Daniel we-may-run-past elders
καὶ γὰρ παραδράμοιμεν, καὶ τὸ τῷ δεσπότῃ περὶ
and for we-may-run-past also the(-thing) by-the master about
αὐτῶν καλῶς εἰρημένον καὶ προηγορευμένον, ὅτι ἐξῆλθεν
them well having-been-said and foretold that went-out
ἀνομία ἐν Βαβυλῶνος ἐκ πρεσβυτέρων κριτῶν, οἳ
lawlessness in of-Babylon from elders judges who
ἐδόκουν κυβερνᾶν τὸν λαόν· πῶς οἴσομεν Ἰεζεκιὴλ, τὸν
seemed to-govern the people how shall-we-bear Ezekiel the
τῶν μεγάλων ἐπόπτην καὶ ἐξηγητὴν μυστηρίων καὶ
of-the great beholder and expounder of-mysteries and
θεαμάτων; Πῶς μὲν ἃ τοῖς σκοποῖς διακελεύεται,
visions how indeed what-things to-the watchmen he-bids
μὴ κατασιωπᾶν τὴν κακίαν, καὶ τὴν ἐπερχομένην ταύτῃ
not to-hush-up the vice and the coming-upon this
ῥομφαίαν; ὡς οὔτε αὐτοῖς τοῦτο λυσιτελοῦν, οὔτε τοῖς
sword as neither for-them this profitable nor for-the(-ones)
ἁμαρτάνουσι· τοῦ δὲ προϊδέσθαι καὶ προκηρῦξαι
sinning the but to-foresee and to-proclaim-beforehand
ἀμφοτέρους ὀνήσοντος, εἰ οἱ μὲν εἴποιεν, οἱ δὲ
both going-to-benefit if the(-ones) indeed should-say the(-others) but
ἀκούσαιεν, ἢ πάντως γε τοὺς μηνύσαντας.
should-hear or by-all-means indeed the(-ones) having-informed
65 Πῶς δὲ τὴν ἄλλην καταδρομὴν, ἣν ποιεῖται κατὰ τῶν
how and the other onslaught which he-makes against the(-ones)
ποιμαινόντων, νῦν μὲν ἐν τούτοις τοῖς ῥήμασιν· Οὐαὶ ἐπὶ
shepherding now indeed in these the words woe upon

οὐαὶ ἔσται, καὶ ἀγγελία ἐπὶ ἀγγελίαν, καὶ ἐκζητηθήσεται
woe will-be and message upon message and will-be-sought
ὅρασις ἐκ προφήτου, καὶ νόμος ἀπολεῖται ἐξ ἱερέως,
vision from prophet and law will-perish from priest
καὶ βουλὴ ἐκ πρεσβυτέρων· νῦν δὲ ἐν ἐκείνοις πάλιν· Υἱὲ
and counsel from elders now but in those again son
ἀνθρώπου, εἶπον αὐτῇ· Σὺ εἶ γῆ οὐ βρεχομένη, οὐδὲ ὑετὸς
of-man say to-her you are land not rained-on nor rain
ἐγένετο ἐπὶ σὲ ἐν ἡμέρᾳ ὀργῆς· ἧς οἱ ἀφηγούμενοι ἐν
came upon you in day of-wrath of-which the(-ones) leading in
μέσῳ αὐτῆς, ὡς λέοντες ὠρυόμενοι, ἁρπάζοντες ἁρπάγματα,
middle of-her as lions roaring snatching spoils
ψυχὰς κατεσθίοντες ἐν δυναστείᾳ· καὶ μετ᾽ ὀλίγα· Οἱ ἱερεῖς
souls devouring in power and after few-things the priests
αὐτῆς ἠθέτουν νόμον μου, καὶ ἐβεβήλουν τὰ ἅγιά μου·
her set-aside law my and profaned the holy-things my
βεβήλοις τε καὶ ἁγίοις, φησὶν, οὐ διέστελλον, ἀλλὰ πάντα
between-profane both and holy he-says not they-distinguished but all-things
ἦν αὐτοῖς ἓν, καὶ ἀπὸ τῶν σαββάτων μου παρεκάλυπτον
was to-them one and from the sabbaths my they-veiled
τοὺς ὀφθαλμοὺς αὐτῶν, καὶ ἐβεβηλούμην ἐν μέσῳ αὐτῶν·
the eyes their and I-was-profaned in middle of-them
συντελεῖν τε τὸν τοῖχον, καὶ τοὺς ἀλείφοντας αὐτὸν
to-make-an-end-of both the wall and the(-ones) daubing it
ἀπειλῶν· τὸ δέ ἐστι, τοὺς ἁμαρτάνοντας καὶ τοὺς
threatening the(-thing) but is the(-ones) sinning and the(-ones)
συγκαλύπτοντας· ὅπερ εἶναι κακῶν ἀρχόντων καὶ ἱερέων, καὶ
covering-up which to-be of-evil rulers and priests and
πλαγιαζόντων τὸν οἶκον τοῦ Ἰσραὴλ κατὰ τὰς καρδίας
leading-astray the house — of-Israel according-to the hearts
αὐτῶν τὰς ἀπηλλοτριωμένας ἐν τοῖς ἐπιθυμήμασιν αὐτῶν.
their the(-ones) estranged in the desires their

66 Καὶ σιωπῶ λέγειν ὅσα περὶ τῶν βοσκόντων
and I-keep-silent to-say as-many-as about the(-ones) feeding
ἑαυτοὺς διαλέγεται, τὸ γάλα κατεσθιόντων, καὶ τὰ
themselves he-discourses the milk devouring and the
ἔρια περιβαλλομένων, καὶ τὸ παχὺ σφαζόντων, ἀλλὰ
wool putting-on and the fat slaughtering but
μὴ ποιμαινόντων τὰ πρόβατα, τὸ ἠσθενηκὸς οὐκ
not shepherding the sheep the(-one) having-been-weak not
ἐνισχυόντων, καὶ τὸ συντετριμμένον οὐ καταδεσμούντων,
strengthening and the(-one) having-been-broken not binding-up
καὶ τὸ πλανώμενον οὐκ ἐπιστρεφόντων, καὶ τὸ
and the(-one) wandering not turning-back and the(-one)
ἀπολωλὸς οὐκ ἐκζητούντων, καὶ τὸ ἰσχυρὸν οὐ
having-been-lost not seeking and the(-one) strong not
φυλαττόντων, ἀλλὰ μόχθῳ κατεργαζομένων, καὶ κατὰ
guarding but with-toil wearing-out and in
σπουδὴν ἀπολλύντων· ὡς διεσπάρθαι τὰ πρόβατα κατὰ
haste destroying so-that to-have-been-scattered the sheep over
παντὸς πεδίου καὶ ὄρους, παρὰ τὸ μὴ εἶναι ποιμένας, καὶ
every plain and mountain because-of the not to-be shepherds and
γενέσθαι κατάβρωμα πᾶσι πετεινοῖς καὶ θηρίοις, οὐκ ὄντος
to-become food for-all birds and beasts not being
τοῦ ἐκζητοῦντος καὶ ἐπιστρέφοντος. Εἶτα τί; Ζῶ ἐγὼ,
the(-one) seeking and turning-back then what live I
φησὶ, λέγει Κύριος, ἀντὶ τοῦ ταῦτα οὕτως ἔχειν, καὶ
he-says says Lord because-of the these-things so to-be and
γενέσθαι τὰ πρόβατά μου εἰς προνομὴν, ἰδοὺ ἐγὼ ἐπὶ τοὺς
to-become the sheep my into plunder behold I upon the
ποιμένας, καὶ ἐκζητήσω τὰ πρόβατά μου ἐκ τῶν χειρῶν
shepherds and I-will-seek the sheep my from the hands

αὐτῶν, καὶ τὰ μὲν συνάξω καὶ περιποιήσομαι· οἱ δὲ
their and the(-ones) indeed I-will-gather and will-preserve they but
τὰ καὶ τὰ πείσονται, ἃ τοὺς κακοὺς ποιμένας εἰκός.
this and that will-suffer what-things the evil shepherds is-fitting
Ἀλλ' ἵνα μὴ, τὰ πάντων καὶ πάντας ἀπαριθμούμενος 67
but that not the(-things) of-all and all enumerating
τοὺς προφήτας, μακρὸν ἀποτείνω λόγον, ἑνὸς
the prophets long I-may-stretch-out speech of-one
ἐπιμνησθεὶς ἔτι τοῦ πρὸ τῆς πλάσεως ἐγνωσμένου,
having-made-mention still the(-one) before the molding having-been-known
καὶ ἐκ μήτρας ἡγιασμένου (Ἱερεμίας ἦν οὗτος), τοὺς
and from womb having-been-sanctified Jeremiah was this-one the
λοιποὺς ὑπερβήσομαι. Ζητεῖ μὲν οὗτος ὑπὲρ κεφαλῆς
rest I-will-pass-over seeks indeed this-one over head
ὕδωρ, καὶ τοῖς ὀφθαλμοῖς πηγὴν δακρύων, ἵνα κλαύσῃ
water and for-the eyes spring of-tears that he-may-weep
πρὸς ἀξίαν τὸν Ἰσραήλ· ὀδύρεται δὲ οὐχ ἧττον καὶ
according-to worth — Israel laments but not less also
τῶν προεστώτων τὴν μοχθηρίαν.
of-the(-ones) presiding the depravity
Λέγει μὲν αὐτῷ διελεγχόμενος πρὸς τοὺς ἱερεῖς ὁ Θεός· Οἱ 68
says indeed to-him reproving toward the priests — God the
ἱερεῖς οὐκ εἶπαν, ποῦ ἐστι Κύριος; καὶ οἱ ἀντεχόμενοι
priests not said where is Lord and the(-ones) holding-to
τοῦ νόμου μου οὐκ ἠπίσταντό με, καὶ οἱ ποιμένες ἠσέβουν
the law my not knew me and the shepherds were-impious
εἰς ἐμέ. Λέγει δὲ αὐτὸς πάλιν· Ποιμένες ἠφρονεύσαντο,
toward me says and he again shepherds acted-senselessly
καὶ τὸν Κύριον οὐκ ἐξεζήτησαν, καὶ διὰ τοῦτο οὐκ
and the Lord not sought and because-of this not
ἐνόησε πᾶσα ἡ νομὴ, καὶ διεσκορπίσθησαν. Ποιμένες τε,
understood all the pasture and they-were-scattered shepherds and

φησὶ, πολλοὶ διέφθειραν τὸν ἀμπελῶνά μου· ἐμόλυναν
he-says many destroyed the vineyard my they-defiled
τὴν μερίδα μου τὴν οὖσαν ἐπιθυμητὴν, δεδόσθαι εἰς
the portion my the(-one) being desirable to-have-been-given into
τὴν ἔρημον ἄβατον. Εἶτα πρὸς αὐτοὺς πάλιν ἀποτείνεται
the desert untrodden then to them again he-stretches-out
τοὺς ποιμένας· Ὦ, οἱ ποιμένες οἱ ἀπολλύντες καὶ
the shepherds O the shepherds the(-ones) destroying and
διασκορπίζοντες τὰ πρόβατα τῆς νομῆς μου· διὰ τοῦτο
scattering the sheep of-the pasture my because-of this
τάδε λέγει Κύριος ἐπὶ τοὺς ποιμαίνοντας τὸν λαόν μου·
these-things says Lord upon the(-ones) shepherding the people my
Ὑμεῖς διεσκορπίσατε τὰ πρόβατά μου, καὶ ἐξεώσατε αὐτὰ,
you scattered the sheep my and thrust-out them
καὶ οὐκ ἐπεσκέψασθε αὐτά· ἰδοὺ ἐγὼ ἐκδικῶ ἐφ' ὑμᾶς,
and not visited them behold I avenge upon you
κατὰ τὰ πονηρὰ ἐπιτηδεύματα ὑμῶν. Ἀλαλάζειν τε
according-to the wicked practices your to-howl both
βούλεται τοὺς ποιμένας, καὶ κόπτεσθαι τοὺς κριοὺς τῶν
he-wishes the shepherds and to-beat-the-breast the rams of-the
προβάτων, διότι ἐπληρώθησαν αἱ ἡμέραι αὐτῶν εἰς σφαγήν.
sheep because were-fulfilled the days their for slaughter

69 Καὶ τί μοι τὰ παλαιὰ λέγειν; Τίς δὲ, τοῖς Παύλου
and why to-me the(-things) old to-speak who but by-the of-Paul
κανόσι καὶ ὅροις ἑαυτὸν παρεκτείνων, οὗς περὶ ἐπισκόπων
rules and bounds himself measuring-against which about bishops
καὶ πρεσβυτέρων ἔταξε, νηφαλίους, σώφρονας εἶναι, μὴ
and presbyters he-ordained vigilant sober to-be not
παροίνους, μὴ πλήκτας, διδακτικοὺς, ἀλήπτους ἐν πᾶσι
given-to-wine not strikers apt-to-teach blameless in all-things
καὶ ἀνεπάφους τοῖς πονηροῖς, οὐ πολὺ τὸ διαφεῦγον
and untouched by-the wicked not much the(-thing) escaping

εὑρήσει τὴν τῶν κανόνων εὐθύτητα; Τί δαὶ ἃ τοῖς
will-find the of-the rules straightness what then the(-things)-which to-the
μαθηταῖς Ἰησοῦς ἐπὶ τὸ κήρυγμα πέμπων νομοθετεῖ; ὧν τὸ
disciples Jesus to the preaching sending legislates of-which the
κεφάλαιον, ἵνα μὴ τὰ καθ' ἕκαστον λέγω, τοιούτους
sum that not the(-things) according-to each I-may-say such
εἶναι τὴν ἀρετὴν, καὶ οὕτως εὐσταλεῖς καὶ μετρίους, καὶ
to-be in-the virtue and so well-girt and moderate and
ἔτι συντόμως εἰπεῖν, οὐρανίους, ὥστε οὐχ ἧττον διὰ τὸν
still concisely to-say heavenly so-that not less because-of the
τρόπον αὐτῶν, ἢ διὰ τὸν λόγον τρέχειν τὸ Εὐαγγέλιον.
manner their than because-of the word to-run the Gospel
Ἐμὲ δὲ φοβοῦσι καὶ ὀνειδιζόμενοι Φαρισαῖοι καὶ γραμματεῖς 70
me but frighten also being-reproached Pharisees and scribes
ἐλεγχόμενοι· ὧν αἰσχρὸν, εἰ πολὺ περιεῖναι δέον
being-refuted of-whom shameful if much to-exceed it-being-needful
τὴν ἀρετὴν, ὡς διατετάγμεθα, εἴ τι δεοίμεθα τῆς τῶν
in-the virtue as we-have-been-ordered if at-all we-need the of-the
οὐρανῶν βασιλείας, καὶ τὴν κακίαν φαινοίμεθα χείρους·
heavens kingdom even in-the vice we-should-appear worse
ὥστε καὶ ὄφεις εἰκότως ἂν ἀκοῦσαι, καὶ γεννήματα
so-that also snakes fittingly — to-be-called and offspring
ἐχιδνῶν, καὶ ὁδηγοὶ τυφλοὶ, τὸν κώνωπα διυλίζοντες, καὶ
of-vipers and guides blind the gnat straining-out and
τὴν κάμηλον καταπίνοντες, καὶ τάφοι ῥυπαροὶ τὰ
the camel swallowing and tombs filthy in-the(-things)
ἔνδον, μετ' εὐπρεπείας τῆς ἔξωθεν καὶ παροψίδες καθαραὶ
within with comeliness the outward and dishes clean
τὸ φαινόμενον, καὶ τἄλλα ὅσα ἐκεῖνοι καὶ
in-the(-thing) appearing and the-other-things as-many-as those both
εἰσὶ καὶ ἀκούουσι.
are and are-called

These thoughts melt his marrow: one must first be cleansed, then cleanse; first be made wise, then teach. To those who ask when he will take up his work, he answers that gray hair with prudence is better than untaught youth, and hasty growth withers like seed on rock. Who would mold in a day the champion of truth who will stand with angels, serve as priest with Christ, and make men gods? God is high, and the soul in its flesh can scarcely glimpse him. Called from the womb, Gregory gave Christ everything, yet dreads being cast out without a wedding garment. Better now to take shelter, when love is gone, the priest is an empty name, and each watches his neighbor's sins to reproach them.

71 Τούτοις ἐγὼ σύνειμι καὶ νύκτωρ καὶ μεθ' ἡμέραν
with-these I am-together both by-night and by day
τοῖς λογισμοῖς· ταῦτά μοι τὸν μυελὸν ἐκτήκει, καὶ
the reasonings these-things my the marrow melt and
δαπανᾷ τὰς σάρκας, καὶ οὐκ ἐᾷ θρασὺν εἶναι καὶ ἄνω
consume the fleshes and not allow bold to-be and upward
βλέποντα· ταῦτά μοι ταπεινοῖ τὴν ψυχὴν, καὶ τὸν νοῦν
looking these-things my humble the soul and the mind
συστέλλει, καὶ τῇ γλώσσῃ δεσμὸν ἐπιτίθησι, καὶ οὐ περὶ
contract and on-the tongue bond lay and not about
προστασίας εἶναι ποιεῖ τὸν λόγον, οὐδὲ τοῦ κατορθοῦν
presidency to-be make the word nor of-the to-set-right
ἄλλους καὶ διευθύνειν, ὃ πολλῆς ἐστι τῆς περιουσίας·
others and to-direct which of-much is the abundance
ἀλλ' ὅπως ἂν αὐτὸς τὴν ἐρχομένην ὀργὴν διαφύγοιμι, καὶ
but how — myself the coming wrath I-may-escape and
μικρόν τι τοῦ ἰοῦ τῆς κακίας ἐμαυτὸν ἀποξέσαιμι.
little something of-the rust of-the vice from-myself I-may-scrape-off
Καθαρθῆναι δεῖ πρῶτον, εἶτα καθᾶραι· σοφισθῆναι,
to-be-cleansed it-is-necessary first then to-cleanse to-be-made-wise

καὶ οὕτω σοφίσαι· γενέσθαι φῶς, καὶ φωτίσαι· ἐγγίσαι
and so to-make-wise to-become light and to-enlighten to-draw-near
Θεῷ, καὶ προσαγαγεῖν ἄλλους· ἁγιασθῆναι, καὶ ἁγιάσαι·
to-God and to-bring others to-be-sanctified and to-sanctify
χειραγωγῆσαι μετὰ χειρῶν, συμβουλεῦσαι μετὰ συνέσεως.
to-lead-by-the-hand with hands to-counsel with understanding
Πότε οὖν ἔσται ταῦτα, φασὶν οἱ ταχεῖς τὰ 72
when therefore will-be these-things say the(-ones) quick in-the(-things)
πάντα, καὶ οὐκ ἀσφαλεῖς, οἱ ῥᾳδίως οἰκοδομοῦντες
all and not safe the(-ones) easily building
καὶ καταλύοντες; Καὶ πηνίκα ὁ λύχνος ἐπὶ τὴν λυχνίαν;
and pulling-down and when the lamp upon the lampstand
Καὶ ποῦ τὸ τάλαντον; οὕτω τὸ χάρισμα λέγοντες. Ταῦτα
and where the talent so the gift calling these-things
οἱ θερμότεροι τὴν φιλίαν ἢ τὴν εὐλάβειαν. Πότε
the(-ones) hotter in-the friendship than in-the reverence when
ταῦτα, καὶ τίς ὁ ἐμὸς λόγος, ὦ γενναιότατοι; Οὐ μακρὰ
these-things and what the my word O most-noble not long
προθεσμία, οὐδὲ γῆρας τὸ ἔσχατον. Κρείσσων γὰρ πολιὰ
appointed-time nor old-age the last better for gray-hair
μετὰ φρονήσεως ἀπαιδεύτου νεότητος, καὶ λελογισμένη
with prudence than-uneducated youth and reasoned
βραδύτης τάχους ἀπερισκέπτου· καὶ ὀλιγοχρόνιος βασιλεία
slowness than-speed unconsidered and short-lived kingship
μακρᾶς τυραννίδος· ὡς καὶ ὀλίγη μερὶς τιμία πολλῆς
than-long tyranny as also small portion precious than-much
κτήσεως ἀτίμου καὶ σφαλερᾶς, καὶ χρυσὸς ὀλίγος μολύβδου
possession dishonored and perilous and gold little than-lead
πολυταλάντου, καὶ πολλοῦ σκότους ὀλίγον φῶς.
of-many-talents and than-much darkness little light

73 Τὸ δὲ ταχὺ τοῦτο καὶ σφαλερὸν, καὶ λίαν κατεσπουδασμένον,
the but quick this and perilous and very hurried
μὴ τῶν σπερμάτων ἐκείνοις ἐοικὸς ᾖ, ἃ κατὰ τῶν
lest of-the seeds to-those like it-be which upon the
πετρῶν πεσόντα, καὶ διὰ τὸ μὴ ἔχειν βάθος γῆς, εὐθὺς
rocks having-fallen and because-of the not to-have depth of-earth at-once
ἀνακύψαντα, οὐδὲ τὴν πρώτην ἤνεγκε τοῦ ἡλίου θερμότητα·
having-sprung-up not-even the first bore of-the sun heat
ἢ τῷ κατὰ τῆς ψάμμου τεθέντι θεμελίῳ, μηδὲ ὀλίγον
or to-the upon the sand laid foundation not-even little
ἀντισχόντι πρὸς τὴν βροχὴν καὶ τὰ πνεύματα. Οὐαί σοι,
having-held-out against the rain and the winds woe to-you
πόλις, ἧς ὁ βασιλεύς σου νεώτερός ἐστι, φησὶ Σολομῶν·
city of-which the king your younger is says Solomon
καὶ, Μὴ ἴσθι ταχὺς ἐν λόγοις, τοῦ αὐτοῦ Σολομῶντος φωνὴ,
and not be quick in words of-the same Solomon voice
πρᾶγμά τι ἔλαττον, λέγοντος, τὸ περὶ λόγον τάχος τῆς
thing some lesser saying the about speech speed than-the
περὶ πρᾶξιν θερμότητος. Καὶ τίς ἐστι παρὰ ταῦτα ὁ τὸ
about action heat and who is beside these-things the(-one) the
τάχος ἀπαιτῶν πρὸ τῆς ἀσφαλείας καὶ τοῦ συμφέροντος; Τίς
speed demanding before the safety and the advantage who
ὁ πλάττων, καθάπερ αὐθήμερον τοὺς πηλίνους, τὸν τῆς
the(-one) molding as in-a-day the clay-figures the of-the
ἀληθείας προστάτην, τὸν μετὰ ἀγγέλων στησόμενον, καὶ
truth champion the(-one) with angels going-to-stand and
μετὰ ἀρχαγγέλων δοξάσοντα, καὶ ἐπὶ τὸ ἄνω θυσιαστήριον
with archangels going-to-glorify and to the above altar
ἀναπέμψοντα τὰς θυσίας, καὶ Χριστῷ συνιερεύσοντα,
going-to-send-up the sacrifices and with-Christ going-to-be-fellow-priest
τὸν ἀναπλάσοντα τὸ πλάσμα, καὶ παραστήσοντα τὴν
the(-one) going-to-re-form the molding and going-to-present the

εἰκόνα, καὶ τῷ ἄνω κόσμῳ δημιουργήσοντα, καὶ τὸ
image and for-the above world going-to-create and the
μεῖζον εἰπεῖν, Θεὸν ἐσόμενον, καὶ θεοποιήσοντα;
greater to-say God going-to-be and going-to-deify
Οἶδα τίνος ἐσμὲν λειτουργοί, καὶ ποῦ κείμενοι, καὶ ποῦ 74
I-know of-whom we-are ministers and where lying and where
πέμποντες· οἶδα τοῦ Θεοῦ τὸ ὕψος, καὶ τὴν ἀνθρωπίνην
sending I-know — of-God the height and the human
ἀσθένειαν, καὶ τὴν δύναμιν πάλιν· Οὐρανὸς ὑψηλὸς, γῆ
weakness and the power again heaven high earth
δὲ βαθεῖα. Καὶ τίς ἀναβήσεται τῶν ἐῤῥιμμένων τῇ
but deep and who will-go-up of-the(-ones) cast-down by-the
ἁμαρτίᾳ; Τίς περικείμενος ἔτι τὸν κάτω ζόφον καὶ τῆς
sin who wearing still the below gloom and of-the
σαρκὸς τὴν παχύτητα ὅλῳ νοῖ καθαρῶς ἐποπτεύσει
flesh the thickness with-whole mind purely will-behold
νοῦν ὅλον, καὶ μιγήσεται τοῖς ἑστῶσι καὶ ἀοράτοις
mind whole and will-be-mingled with-the(-things) standing and invisible
ἐν τοῖς ἀστάτοις καὶ ὁρωμένοις; Μόλις γὰρ ἄν τις
in the unstable and visible scarcely for — someone
ἐνταῦθα τῶν σφόδρα κεκαθαρμένων καὶ εἴδωλον τοῦ
here of-the(-ones) very cleansed even image of-the
καλοῦ θεωρήσειεν, ὥσπερ οἱ τὸν ἥλιον ἐν τοῖς ὕδασι.
beautiful might-behold as the(-ones) the sun in the waters
Τίς ὁ μετρήσας τῇ χειρὶ τὸ ὕδωρ, καὶ τὸν
who the(-one) having-measured with-the hand the water and the
οὐρανὸν σπιθαμῇ, καὶ πᾶσαν τὴν γῆν δρακί; Τίς ἔστησε
heaven with-span and all the earth with-handful who set
τὰ ὄρη σταθμῷ, καὶ τὰς νάπας ζυγῷ; Τίς τόπος τῆς
the mountains in-balance and the glens in-scale what place of-the
καταπαύσεως αὐτοῦ, καὶ τίνι τῶν πάντων ὁμοιωθήσεται;
rest his and to-what of-the all-things will-he-be-likened

75 Τίς ὁ ποιήσας τὰ πάντα ἐν λόγῳ, καὶ τῇ
who the(-one) having-made the(-things) all by word and by-the
σοφίᾳ κατασκευάσας ἄνθρωπον, καὶ εἰς ἓν ἀγαγὼν
wisdom having-fashioned man and into one having-brought
τὰ διεστῶτα, καὶ μίξας τὸν χοῦν τῷ πνεύματι,
the(-things) standing-apart and having-mingled the dust with-the spirit
καὶ συνθεὶς ζῷον ὁρατὸν καὶ ἀόρατον, πρόσκαιρον
and having-composed living-thing visible and invisible temporary
καὶ ἀθάνατον, ἐπίγειον καὶ οὐράνιον, ἁπτόμενον Θεοῦ καὶ
and deathless earthly and heavenly touching God and
οὐ περιδρασσόμενον, ἐγγίζον καὶ μακρυνόμενον; Εἶπα,
not grasping drawing-near and being-made-far I-said
σοφισθήσομαι, φησὶν ὁ Σολομῶν, καὶ αὐτὴ ἐμακρύνθη
I-will-be-wise says — Solomon and she was-made-far
ἀπ᾽ ἐμοῦ μακρὸν ὑπὲρ ὃ ἦν, τὴν σοφίαν λέγων.
from me far beyond what she-was the wisdom saying
Καὶ ὄντως ὁ προστιθεὶς γνῶσιν προστίθησιν ἄλγημα·
and truly the(-one) adding knowledge adds pain
οὐ μᾶλλον εὐφραίνοντος τοῦ εὑρεθέντος ἢ ἀνιῶντος
not rather gladdening the(-thing) found than grieving
τοῦ διαφεύγοντος· ὅπερ, οἶμαι, φιλεῖ συμβαίνειν τοῖς
the(-thing) escaping which I-think is-wont to-happen to-the(-ones)
ἔτι διψῶσιν ἀποσπωμένοις ὕδατος· ἢ κρατεῖν τι
still thirsting being-dragged-from water or to-hold something
οὐ δυναμένοις, ἔχειν νομίζουσιν· ἢ οὓς ἀπῆλθεν εὐθὺς
not able to-have thinking or whom left at-once
ἀστραπὴ περιλάμψασα.
lightning having-shone-around

76 Τοῦτό με ἔστη κάτω, καὶ ταπεινὸν ἐποίει, καὶ εἶναι βέλτιον
this me set below and lowly made and to-be better
ἔπειθεν ἀκούειν φωνὴν αἰνέσεως, ἢ ἐξηγητὴν εἶναι τῶν
persuaded to-hear voice of-praise than expounder to-be of-the(-things)

ὑπὲρ δύναμιν· ἡ μεγαλειότης, καὶ τὸ ὕψος, καὶ τὸ ἀξίωμα,
beyond power the majesty and the height and the dignity
καὶ αἱ καθαραὶ φύσεις μόλις χωροῦσαι Θεοῦ λαμπρότητα,
and the pure natures scarcely containing of-God brightness
ὃν ἄβυσσος καλύπτει, οὗ σκότος ἀποκρυφὴ, φωτὸς
whom abyss covers of-whom darkness hiding-place light
ὄντος τοῦ καθαρωτάτου καὶ ἀπροσίτου τοῖς πλείοσιν· ὃς ἐν
being the purest and unapproachable to-the most who in
τῷ παντὶ τῷδε, καὶ τοῦ παντός ἐστιν ἔξω· ὃς καλόν ἐστιν
the all this and of-the all is outside who beautiful is
ἅπαν, καὶ ἄνω παντὸς καλοῦ· ὃς νοῦν φωτίζει, καὶ διαφεύγει
all and above every beautiful who mind enlightens and escapes
νοῦ τάχος καὶ ὕψος, ὑποχωρῶν ἀεὶ τοσοῦτον, ὅσον
of-mind speed and height withdrawing always so-much as-much-as
καταλαμβάνεται, καὶ ὑπάγων πρὸς τὰ ἄνω τὸν ἐραστὴν
he-is-grasped and drawing-on to the(-things) above the lover
τῷ φεύγειν, καὶ τῷ οἷον κρατούμενος κλέπτεσθαι.
by-the to-flee and by-the as-it-were being-held to-be-stolen-away
Τοσοῦτον μὲν δὴ καὶ τοιοῦτον ἡμῖν τὸ ποθούμενον 77
so-great indeed indeed and such for-us the(-thing) being-longed-for
καὶ σπουδαζόμενον· τοιοῦτον δὲ εἶναι χρὴ τὸν νυμφαγωγὸν
and being-pursued such but to-be must the bridegroom's-escort
τῶν ψυχῶν καὶ προμνήστορα. Ἔμοιγε μὴν δέος, μὴ καὶ
of-the souls and matchmaker to-me-at-least however fear lest even
τοῦ νυμφῶνος ἔξω ῥιφῶ δεθεὶς χεῖρας καὶ πόδας, ὡς
from-the bridal-chamber outside I-be-cast bound hands and feet as
οὐκ ἐνδεδυμένος ἔνδυμα γάμου, ἀλλὰ τολμηρῶς παρενείρας
not having-put-on garment of-wedding but boldly having-thrust-in
ἐμαυτὸν τοῖς ἐκεῖσε ἀνακειμένοις· καίτοι προσεκλήθην
myself among-the(-ones) there reclining and-yet I-was-called
μὲν ἐκ νεότητος, ἵν' εἴπω τι τῶν τοῖς πολλοῖς
indeed from youth that I-may-tell something of-the(-things) by-the many

ἀγνοουμένων, καὶ ἐπ᾽ αὐτὸν ἐπερῤῥίφην ἐκ μήτρας, καὶ
unknown and upon him I-was-cast from womb and
ἐδόθην δοτὸς ἐκ μητρικῆς ὑποσχέσεως, καὶ μετὰ τοῦτο
I-was-given given from mother's promise and after this
τοῖς κινδύνοις ἐβεβαιώθην· καὶ ὁ πόθος συνηυξήθη, καὶ
by-the dangers I-was-confirmed and the longing was-increased-with and
ὁ λογισμὸς συνέδραμε, καὶ πάντα ἔδωκα φέρων τῷ
the reasoning ran-together and all-things I-gave bringing to-the(-one)
λαχόντι καὶ σώσαντι, κτῆσιν, περιφάνειαν, εὐεξίαν, τοὺς
having-obtained and having-saved possession renown good-health the
λόγους αὐτοὺς, ὧν τοῦτο ἀπήλαυσα μόνον, τὸ παριδεῖν
letters themselves of-which this I-enjoyed only the to-overlook
καὶ ἐσχηκέναι ὧν Χριστὸν προετίμησα. Καὶ ἡδύνθη
and to-have-had over-which Christ I-preferred and were-sweet
μοι τὰ τοῦ Θεοῦ Λόγια, ὡς κηρία μέλιτος· καὶ τὴν
to-me the — of-God Oracles as honeycombs of-honey and the
σύνεσιν ἐπεκαλεσάμην, καὶ τῇ σοφίᾳ ἔδωκα φωνὴν
understanding I-called-upon and to-the wisdom I-gave voice
μου. Καὶ τἄλλα δὴ ταῦτα, οἷον θυμὸν μετρῆσαι,
my and the-other-things indeed these as wrath to-measure
καὶ γλῶσσαν χαλινῶσαι, καὶ ὀφθαλμὸν σωφρονίσαι, καὶ
and tongue to-bridle and eye to-chasten and
γαστέρα παιδαγωγῆσαι, καὶ δόξαν πατῆσαι τὴν κάτω
belly to-train and glory to-trample the below
μένουσαν. Παραφρονῶν λέγω, ἀλλ᾽ οὖν εἰρήσεται· ταῦτα
remaining being-beside-myself I-speak but anyway it-shall-be-said these-things
μὲν οὐ τῶν πολλῶν ἴσως ἐγενόμην φαυλότερος.
indeed not than-the many perhaps I-became worse

78 Τοῦτο δὲ φιλοσοφῆσαι κρεῖττον ἢ καθ᾽ ἡμᾶς, δέξασθαι
this but to-philosophize better than according-to us to-accept
ψυχῶν ἡγεμονίαν καὶ προστασίαν, καὶ μήπω μηδὲ
of-souls leadership and presidency and not-yet even

ποιμαίνεσθαι καλῶς μαθόντας ἡμᾶς, μηδὲ καθαρθέντας
to-be-shepherded well having-learned us nor having-been-cleansed
τὴν ψυχὴν ὅσον ἄξιον, ἔπειτα ποίμνης ἐπιστατεῖν
the soul as-much-as worthy then of-flock to-be-in-charge
πιστευθῆναι· καὶ ταῦτα ἐν καιροῖς τοιούτοις, ἐν οἷς
to-be-entrusted and these-things in times such in which
ἀγαπητὸν ὁρῶντα τοὺς ἄλλους ἄνω καὶ κάτω στρεφομένους
desirable seeing the others up and down being-turned
τε καὶ ταρασσομένους, φυγόντα φυγῇ ἐκ τοῦ μέσου,
both and being-troubled having-fled in-flight from the middle
ὑπὸ σκέπην ἀναχωρήσαντα, λαθεῖν τοῦ πονηροῦ τὴν
under shelter having-withdrawn to-escape-notice-of of-the wicked-one the
ζάλην καὶ τὴν σκοτόμαιναν· ἡνίκα πολεμεῖ μὲν ἀλλήλοις
surge and the darkness when war indeed with-one-another
τὰ μέλη, οἴχεται δὲ τῆς ἀγάπης, εἰ καί τι ἦν λείψανον,
the members is-gone but of-the love if even some was remnant
ὄνομα δὲ κενὸν ἄλλως ὁ ἱερεὺς, ἐκχυθείσης ἐπ᾽
name but empty otherwise the priest having-been-poured-out upon
ἄρχοντας ἐξουδενώσεως, ὥσπερ εἴρηται.
rulers contempt as has-been-said
Καὶ εἴθε κενόν· νυνὶ δὲ τρέποιτο εἰς κεφαλὰς ἀθέων 79
and would-that empty now but may-be-turned upon heads of-godless-men
ἡ βλασφημία. Φόβος δὲ ἅπας ἐξώρισται τῶν ψυχῶν·
the blasphemy fear but all has-been-banished from-the souls
ἀντεισῆκται δὲ ἀναίδεια· τοῦ βουλομένου δὲ
has-been-brought-in-instead and shamelessness of-the(-one) wishing and
ἡ γνῶσις, καὶ τὰ βάθη τοῦ Πνεύματος· πάντες δέ
the knowledge and the depths of-the Spirit all and
ἐσμεν εὐσεβεῖς ἐξ ἑνὸς μόνου τοῦ καταγινώσκειν ἄλλων
we-are pious from one only of-the to-condemn of-others
ἀσέβειαν. Χρώμεθα δὲ δικασταῖς τοῖς ἀθέοις, καὶ ῥιπτοῦμεν
impiety we-use and as-judges the godless and we-throw

τὰ ἅγια τοῖς κυσὶ, καὶ βάλλομεν τοὺς μαργαρίτας
the holy-things to-the dogs and we-cast the pearls
ἔμπροσθεν τῶν χοίρων, βεβήλοις ἀκοαῖς καὶ ψυχαῖς
before the swine to-profane hearings and souls
τὰ θεῖα δημοσιεύοντες· καὶ τὰς τῶν ἐχθρῶν εὐχὰς
the divine-things publishing and the of-the enemies prayers
ἐπιμελῶς ἐκπληροῦμεν οἱ δείλαιοι, καὶ πορνεύοντες ἐν τοῖς
carefully we-fulfill the wretched and fornicating in the
ἐπιτηδεύμασιν ἡμῶν οὐκ αἰσχυνόμεθα. Μωαβῖται δὲ καὶ
practices our not we-are-ashamed Moabites and also
Ἀμμανῖται, οἷς οὐδ' ἐξῆν παριέναι εἰς Ἐκκλησίαν
Ammonites for-whom not-even it-was-permitted to-pass-in into Church
Κυρίου, τοῖς ἁγιωτάτοις ἡμῶν ἐμβατεύουσιν. Ἠνοίξαμεν δὲ
of-Lord the most-holy our step-into we-opened and
πᾶσιν οὐ πύλας δικαιοσύνης, ἀλλὰ θύρας λοιδορίας τε καὶ
to-all not gates of-righteousness but doors of-reviling both and
τῆς κατ' ἀλλήλων θρασύτητος· καὶ οὗτος ἄριστος ἡμῖν, οὐχ
of-the against one-another rashness and this-one best for-us not
ὃς ἂν μηδὲ ῥῆμα πρόηται ἀργὸν φόβῳ Θεοῦ, ἀλλ' ὃς ἂν
who — not-even word let-fall idle by-fear of-God but who —
τύχῃ πλεῖστα τὸν πλησίον εἰπὼν κακῶς, ἢ διαῤῥήδην,
happen most the neighbor having-spoken-of badly either expressly
ἢ ἐν αἰνίγμασι· καὶ ὑπὸ τὴν γλῶσσαν αὐτοῦ στρέφων
or in riddles and under the tongue his turning
κόπον καὶ πόνον, ἢ ἰὸν ἀσπίδων, εἰπεῖν οἰκειότερον.
labor and toil or poison of-asps to-say more-properly
80 Τηροῦμεν δὲ τὰς ἀλλήλων ἁμαρτίας, οὐχ ἵνα θρηνήσωμεν,
we-watch and the of-one-another sins not that we-may-lament
ἀλλ' ἵνα ὀνειδίσωμεν· οὐδ' ἵνα θεραπεύσωμεν, ἀλλ' ἵνα
but that we-may-reproach nor that we-may-heal but that
προσπλήξωμεν, καὶ ἀπολογίαν ἔχωμεν τῶν ἡμετέρων
we-may-strike-besides and defense we-may-have of-the our

κακῶν τὰ τῶν πλησίον τραύματα. Κακοὺς δὲ καὶ
evils the of-the neighbors wounds evil now and
ἀγαθοὺς οὐχ ὁ τρόπος, ἀλλ' ἡ διάστασις καὶ ἡ φιλία
good not the manner but the division and the friendship
χαρακτηρίζει· καὶ ἃ σήμερον ἐπαινοῦμεν, αὔριον
characterizes and what-things today we-praise tomorrow
ἐκακίσαμεν· καὶ ἃ παρ' ἄλλοις στηλιτεύεται, παρ'
we-reviled and what-things among others are-pilloried among
ἡμῖν θαυμάζεται· καὶ πάντα συγχωρεῖται προθύμως τῷ
us are-admired and all-things are-forgiven readily for-the
ἀσεβεῖν. Οὕτω τὴν κακίαν ἐσμὲν μεγαλόψυχοι!
to-be-impious so in-the vice we-are magnanimous

ORATION 2, 81–90 · THE CHURCH AT WAR WITH ITSELF

All has fallen back into chaos, like a night battle or a sea fight, where friends cannot be told from foes. The priest has become like the people. Gregory praises those who fight for the faith, but deplores men who quarrel over trifles and make the Church hated by the pagans and lampooned on the stage. Demons still tremble at Christ's name, which we blaspheme. He does not fear the persecutor's war, for he can boast of death for Christ; it is the war within the Church he cannot fight. Who will be its Moses, Joshua, David, Samuel, or Jeremiah, or pray like Noah, Job, and Daniel? Too weak for this war, he turned his back and fled.

Γέγονε δὲ πάντα ὡς τὸ ἀπαρχῆς, ὅτε οὔπω κόσμος 81
it-has-become and all-things as the(-thing) from-the-beginning when not-yet world
ἦν, οὐδὲ ἡ νῦν εὐταξία καὶ μόρφωσις· ἀλλὰ συγκεχυμένον
was nor the now good-order and shaping but confused
τὸ πᾶν καὶ ἀνώμαλον ἐδεῖτο τῆς εἰδοποιοῦ χειρὸς καὶ
the all and uneven needed the form-making hand and
δυνάμεως. Εἰ βούλει δὲ, ὡς ἐν νυκτομαχίᾳ καὶ σελήνης
power if you-wish but as in night-battle and of-moon

ἀμυδροῖς φέγγεσιν, ἐχθρῶν ἢ φίλων ὄψεις οὐ διαγινώσκοντες·
in-dim beams of-enemies or of-friends faces not distinguishing
ἢ ὡς ἐν ναυμαχίᾳ καὶ ζάλῃ, καὶ πνευμάτων ἐμβολαῖς,
or as in sea-battle and surge and of-winds by-assaults
καὶ ῥοθίῳ ζέοντι, καὶ κυμάτων ἐπιδρομαῖς, καὶ νηῶν
and by-surf boiling and of-waves by-onrushes and of-ships
ἀραγμοῖς, καὶ κοντῶν ὠθισμοῖς, καὶ κελευστῶν φωναῖς, καὶ
by-crashings and of-poles by-thrustings and of-coxswains by-voices and
πιπτόντων οἰμωγαῖς ὑπερηχούμενοί τε καὶ ἀπορούμενοι,
of-the(-ones)-falling by-wailings being-drowned-out both and being-at-a-loss
καὶ τῆς ἀνδρείας καιρὸν οὐκ ἔχοντες, φεῦ τοῦ πάθους!
and of-the courage occasion not having alas for-the suffering
ἀλλήλοις περιπίπτομεν, καὶ ὑπ᾽ ἀλλήλων ἀναλισκόμεθα.
on-one-another we-fall and by one-another we-are-consumed

82 Καὶ οὐχ ὁ λαὸς μὲν οὕτως, ὁ δὲ ἱερεὺς ἑτέρως· ἀλλά μοι
and not the people indeed so the but priest otherwise but to-me
νῦν ἐκεῖνο πληροῦσθαι δοκεῖ καθαρῶς, τό· Γέγονεν ὁ
now that to-be-fulfilled seems clearly the(-thing) has-become the
ἱερεὺς καθὼς ὁ λαὸς, ἐν κατάρᾳ πάλαι λεγόμενον. Καὶ οὐχ
priest as the people in curse of-old being-said and not
οἱ πολλοὶ μὲν οὕτως, οἱ δὲ ἀδροὶ τοῦ λαοῦ καὶ προέχοντες
the many indeed so the but stout of-the people and prominent
ἐναντίως· ἀλλ᾽ οὗτοί γε καὶ φανερῶς πολεμοῦσι τοῖς
contrarily but these indeed even openly war against-the
ἱερεῦσιν, ἐφόδιον ἔχοντες εἰς πειθὼ τὴν εὐσέβειαν· καὶ
priests provision having toward persuasion the piety and
ὅσοι μὲν περὶ πίστεως τοῦτο πασχόντων, καὶ τῶν
as-many-as indeed about faith this suffering and of-the
ἀνωτάτω ζητημάτων καὶ πρώτων οὐδ᾽ ἐγὼ μέμφομαι,
highest questions and first not-even I blame
ἀλλ᾽ εἰ δεῖ τἀληθὲς εἰπεῖν, καὶ προσεπαινῶ, καὶ
but if it-is-necessary the-truth to-say also I-praise-besides and

συνήδομαι. Καὶ τούτων εἷς εἴην τῶν ὑπὲρ ἀληθείας
I-rejoice-with and of-these one may-I-be of-the(-ones) for truth
ἀγωνιζομένων καὶ τῶν ἀπεχθανομένων· μᾶλλον δὲ καὶ
contending and of-the(-ones) incurring-hatred rather but even
εἶναι καυχήσομαι. Κρείττων γὰρ ἐπαινετὸς πόλεμος εἰρήνης
to-be I-will-boast better for praiseworthy war than-peace
χωριζούσης Θεοῦ· καὶ διὰ τοῦτο τὸν πρᾶον μαχητὴν
separating from-God and because-of this the gentle warrior
ὁπλίζει τὸ Πνεῦμα, ὡς καλῶς πολεμεῖν δυνάμενον.
arms the Spirit as well to-war able
Νῦν δέ εἰσί τινες οἳ καὶ περὶ μικρῶν πολεμοῦντες, καὶ 83
now but there-are some who even about small-things warring and
εἰς οὐδὲν ὄφελος, καὶ κοινωνοὺς, ὅσους ἂν δύνωνται,
to no benefit and as-partners as-many-as — they-can
τοῦ κακοῦ προσλαμβάνοντες, λίαν ἀμαθῶς καὶ θρασέως.
of-the evil taking-to-themselves very ignorantly and rashly
Εἶτα ἐπὶ πᾶσιν ἡ πίστις, καὶ τοῦτο τὸ σεμνὸν ὄνομα
then upon all-things the faith and this the august name
ταῖς ἰδίαις αὐτῶν φιλονεικίαις παρασυρόμενον. Ἐκ δὲ
by-the own their contentions being-dragged-along from but
τούτων, ὡς τὸ εἰκὸς, μισούμεθα μὲν ἐν τοῖς ἔθνεσι,
these as the likely we-are-hated indeed among the nations
καὶ ὃ τούτου χαλεπώτερον, οὐδὲ εἰπεῖν ἔχομεν, ὡς
and what than-this more-grievous not-even to-say we-are-able that
οὐ δικαίως· διαβεβλήμεθα δὲ καὶ τῶν ἡμετέρων τοῖς
not justly we-have-been-slandered and also of-the our among-the
ἐπιεικεστέροις· οὐδὲν γὰρ θαυμαστὸν εἰ τοῖς πλείοσιν,
more-decent nothing for wonderful if among-the more
οἳ μόλις ἄν τι καὶ τῶν καλῶν ἀποδέχοιντο.
who scarcely — anything even of-the good-things would-accept

84 Τεκταίνουσι δὲ ἐπὶ τῶν νώτων ἡμῶν οἱ ἁμαρτωλοί· καὶ
build and upon the backs our the sinners and
ἃ κατ᾽ ἀλλήλων ἐπινοοῦμεν, κατὰ πάντων ἔχουσι· καὶ
what-things against one-another we-devise against all they-have and
γεγόναμεν θέατρον καινὸν, οὐκ ἀγγέλοις καὶ ἀνθρώποις, οἷον
we-have-become spectacle new not to-angels and men as
ὁ γενναιότατος τῶν ἀθλητῶν Παῦλος, πρὸς τὰς ἀρχὰς
the noblest of-the athletes Paul against the principalities
καὶ τὰς ἐξουσίας ἀγωνιζόμενος, ἀλλὰ πᾶσι μικροῦ τοῖς
and the powers contending but to-all almost the
πονηροῖς, καὶ ἐπὶ παντὸς καιροῦ καὶ τόπου, ἐν ἀγοραῖς, ἐν
wicked and at every time and place in marketplaces at
πότοις, ἐν εὐφροσύναις, ἐν πένθεσιν. Ἤδη δὲ προήλθομεν καὶ
drinkings at festivities at mournings already and we-have-advanced even
μέχρι τῆς σκηνῆς, ὃ μικροῦ καὶ δακρύω λέγων, καὶ μετὰ
as-far-as the stage which almost even I-weep saying and with
τῶν ἀσελγεστάτων γελώμεθα· καὶ οὐδὲν οὕτω τερπνὸν τῶν
the most-licentious we-are-laughed-at and nothing so pleasant of-the
ἀκουσμάτων καὶ θεαμάτων, ὡς Χριστιανὸς κωμῳδούμενος.
hearings and spectacles as Christian being-lampooned
85 Ταῦτα ἡμῖν ὁ πρὸς ἀλλήλους πόλεμος· ταῦτα οἱ
these-things for-us the toward one-another war these-things the(-ones)
λίαν ὑπὲρ τοῦ ἀγαθοῦ καὶ πράου μαχόμενοι· ταῦτα
too-much for the good and gentle fighting these-things
οἱ πλέον ἀγαπῶντες τὸν Θεὸν ἢ ὅσον συμφέρει· καὶ
the(-ones) more loving — God than as-much-as is-profitable and
παλαίειν μὲν οὐκ ἔξεστιν ἔξω τῶν νενομισμένων, οὐδ᾽
to-wrestle indeed not it-is-permitted outside the customary nor
ἄλλο τι ἀγωνίζεσθαι· ἢ καταβοήσεται καὶ ἀτιμασθήσεται,
other anything to-contend or will-be-cried-down and will-be-dishonored
καὶ ἀπολεῖ τὴν νίκην ὁ ἐκπαλαίων, ἢ ἄλλο τι
and will-lose the victory the(-one) wrestling-out-of-bounds or other something

μὴ καλῶς ἀγωνιζόμενος, μηδὲ κατὰ τοὺς κειμένους ὅρους
not well contending nor according-to the laid-down bounds
τῆς ἀγωνίας, κἂν ὅτι γενναῖος ᾖ καὶ τεχνικώτατος· ὑπὲρ
of-the contest even-if that noble he-be and most-skilled for
Χριστοῦ δὲ ἀγωνιεῖταί τις οὐ κατὰ Χριστὸν, ἔπειτα
Christ but will-contend someone not according-to Christ then
χαριεῖται τῇ εἰρήνῃ, πολεμῶν ὑπὲρ αὐτῆς ὡς οὐκ ἔξεστι;
will-gratify the peace warring for it as not it-is-permitted
Καὶ οἱ μὲν δαίμονες φρίττουσιν εἰς ἔτι καὶ νῦν Χριστοῦ 86
and the indeed demons shudder to still even now Christ
καλουμένου, καὶ οὐδὲ ὑπὸ τῆς κακίας ἡμῶν ἐξίτηλος
being-called and not-even by the vice our faded
γέγονεν ἡ τοῦ ὀνόματος τούτου δύναμις· ἡμεῖς δὲ οὐκ
has-become the of-the name this power we but not
αἰσχυνόμεθα τὸ σεμνὸν οὕτω καὶ πρᾶγμα καὶ ὄνομα
are-ashamed the august so both thing and name
καθυβρίζοντες· καὶ μονονοὺ φανερῶς αὐτοῦ βοῶντος
outraging and all-but openly him crying
ἀκούοντες καὶ καθ' ἑκάστην ἡμέραν· Τὸ γὰρ ὄνομά
hearing and according-to each day the for name
μου βλασφημεῖται δι' ὑμᾶς ἐν τοῖς ἔθνεσι.
my is-blasphemed because-of you among the nations
Καὶ τὸν μὲν ἔξωθεν οὐ δέδοικα πόλεμον, οὐδὲ τὸν νῦν 87
and the indeed from-outside not I-fear war nor the now
ἐπαναστάντα θῆρα ταῖς ἐκκλησίαις, καὶ τοῦ πονηροῦ τὸ
having-risen-up beast against-the churches and of-the wicked-one the
πλήρωμα, κἂν πῦρ ἀπειλῇ, κἂν ξίφη, κἂν θῆρας, κἂν
fullness even-if fire he-threaten even-if swords even-if beasts even-if
κρημνοὺς, κἂν βάραθρα, κἂν πάντων γένηται τῶν
cliffs even-if pits even-if of-all he-become of-the(-ones)
πώποτε μανέντων ἀπανθρωπότατος, κἂν ταῖς οὔσαις
ever having-raged most-inhuman even-if to-the existing

τιμωρίαις προσεξεύρῃ χαλεπωτέρας. Ἓν ἔχω πρὸς πάντα
punishments he-invent-besides more-grievous one I-have against all-things
φάρμακον, μίαν ὁδὸν εἰς νίκην· Ἐν Χριστῷ καυχήσομαι,
remedy one road to victory in Christ I-will-boast
τὸν ὑπὲρ Χριστοῦ θάνατον.
the for Christ death

88 Πρὸς δὲ τὸν ἐμὸν πόλεμον οὐκ ἔχω τίς γένωμαι, τίνα
against but the my war not I-have what I-may-become what
συμμαχίαν ἐξεύρω, τίνα λόγον σοφίας, τί χάρισμα,
alliance I-may-find what word of-wisdom what gift
ποίᾳ πανοπλίᾳ πρὸς τὰς τοῦ πονηροῦ μεθοδείας
with-what panoply against the of-the wicked-one wiles
ὁπλίσομαι. Τίς νικήσει τοῦτον Μωϋσῆς ἐκτείνας τὰς
I-shall-arm who will-conquer this-one Moses having-stretched-out the
χεῖρας ἐπὶ τοῦ ὄρους, ἵν' ὁ σταυρὸς ἰσχύσῃ τυπούμενος
hands upon the mountain that the cross may-prevail being-typified
καὶ προμηνυόμενος; Τίς Ἰησοῦς μετὰ τοῦτον, τῷ
and being-foretold who Joshua after this-one with-the
ἀρχιστρατήγῳ τῶν θείων παρατάξεων συμπαραταττόμενος;
chief-captain of-the divine battle-lines drawing-up-alongside
Τίς Δαβὶδ, ἢ ψάλλων, ἢ πολεμῶν ἐν σφενδόναις, καὶ
who David either psalming or warring with slings and
ὑπὸ τοῦ Θεοῦ περιεζωσμένος δύναμιν εἰς πόλεμον, καὶ
by — God having-been-girded power for war and
τοὺς δακτύλους εἰς παράταξιν γυμναζόμενος; Τίς Σαμουὴλ,
the fingers for battle being-trained who Samuel
καὶ προσευχόμενος τοῦ λαοῦ καὶ προθυόμενος, καὶ χρίων
both praying for-the people and sacrificing-before and anointing
εἰς βασιλέα τὸν νικᾶν δυνάμενον; Τίς θρηνήσει ταῦτα
as king the(-one) to-conquer able who will-lament these-things
πρὸς ἀξίαν Ἱερεμίας, θρήνους γράφων ὑπὲρ τοῦ Ἰσραήλ;
according-to worth Jeremiah laments writing for — Israel

Τίς βοήσεται, Φεῖσαι, Κύριε, τοῦ λαοῦ σου, καὶ μὴ δῷς τὴν 89
who will-cry spare Lord the people your and not give the
κληρονομίαν σου εἰς ὄνειδος, τοῦ κατάρξαι αὐτῶν ἔθνη; Τίς
inheritance your to reproach of-the to-rule them nations who
περὶ ἡμῶν προσεύξεται Νῶε, καὶ Ἰὼβ, καὶ Δανιὴλ, οἱ
for us will-pray Noah and Job and Daniel the(-ones)
συνευχόμενοι καὶ συναριθμούμενοι, ἵνα κοπάσῃ μικρὸν ἡμῖν
praying-together and numbered-together that may-abate little for-us
ὁ πόλεμος, ἵνα γενώμεθα ἡμῶν αὐτῶν, ἵν' ἀλλήλους ποτὲ
the war that we-may-become of-us ourselves that one-another once
γνωρίσωμεν, ἵνα μηκέτι ὦμεν ἀνθ' ἑνὸς τοῦ Ἰσραὴλ
we-may-know that no-longer we-be instead-of one — Israel
Ἰούδας καὶ Ἰσραὴλ, μηκέτι Ῥοβοὰμ καὶ Ἱεροβοὰμ, μηκέτι
Judah and Israel no-longer Rehoboam and Jeroboam no-longer
Ἱερουσαλὴμ καὶ Σαμάρεια, αἱ ἐν μέρει διὰ τὰς
Jerusalem and Samaria the(-ones) in part because-of the
ἁμαρτίας παραδιδόμεναι, καὶ ἐν μέρει θρηνούμεναι;
sins being-handed-over and in part being-lamented
Ἐγὼ μὲν γὰρ ἀσθενέστερος εἶναι τοῦ πολέμου τούτου 90
I indeed for weaker to-be than-the war this
ὁμολογῶ, καὶ διὰ τοῦτο ἔδωκα τὰ νῶτα, καλύψας
I-confess and because-of this I-gave the back having-covered
τὸ πρόσωπον ἐν τροπῇ, καὶ καταμόνας καθεσθῆναι, ὅτι
the face in rout and alone to-be-seated because
πικρίας ἐνεπλήσθην, ἐζήτησα καὶ σιωπῆσαι, συνιὼν,
with-bitterness I-was-filled I-sought also to-be-silent understanding
ὅτι ὁ καιρὸς πονηρός ἐστιν· ὅτι ἀπελάκτισαν οἱ
that the time evil is because kicked the(-ones)
ἠγαπημένοι, ὅτι γεγόναμεν υἱοὶ ἀφεστηκότες, ἡ ἄμπελος
beloved because we-have-become sons standing-off the vine
ἡ εὐκληματοῦσα, ἡ ἄμπελος ἡ ἀληθινή, πᾶσα καρποφόρος,
the well-branching the vine the true all fruit-bearing

ὡραία πᾶσα, καλῶς ταῖς σταγόσι ταῖς ἄνωθεν ἀνατέλλουσα·
beautiful all well with-the drops the from-above springing-up
ὅτι ἐστράφη εἰς ἀτιμίαν ἐμοὶ τὸ διάδημα τοῦ κάλλους,
because was-turned into dishonor to-me the diadem of-the beauty
τὸ ἀποσφράγισμα τῆς ἐμῆς δόξης, ὁ τῆς καυχήσεως
the seal of-the my glory the of-the boasting
στέφανος· εἰ δέ τις πρὸς ταῦτα τολμηρὸς καὶ γενναῖος,
crown if but anyone toward these-things bold and noble
μακάριος οὗτος ἐμοὶ τοῦ θάρσους καὶ τῆς γενναιότητος.
blessed this-one to-me for-the courage and for-the nobility

ORATION 2, 91–100 · WHO IS WORTHY?

There is also the war within, of the body against the spirit, and he would not lead souls before he had mastered it. Only Moses went up into the cloud on Sinai; Nadab and Abihu died for strange fire, Eli for his sons, Uzzah for touching the ark; priests and victims had to be without blemish. How could he offer the outward sacrifice before offering himself, his hands, ears, tongue, and feet made holy? He asks who, not yet inflamed by Scripture, not yet passed through Christ's names (Word, Wisdom, Light, Way, Door, Lamb, Shepherd), not yet able to bear the cross, would gladly take the head of Christ's body. Let others sail for great gains; he would rather plow a small safe furrow.

91 Καὶ οὔπω λέγω τὸν ἔνδον καὶ ἐν ἡμῖν αὐτοῖς, τὸν ἐν
and not-yet I-speak-of the within and in us ourselves the in
τοῖς πάθεσι πόλεμον, ὃν πολεμούμεθα νυκτὸς καὶ ἡμέρας
the passions war which we-are-warred night and day
ὑπὸ τοῦ τῆς ταπεινώσεως σώματος, τὰ μὲν κρύβδην,
by the of-the lowliness body the(-things) indeed secretly
τὰ δὲ φανερῶς· καὶ τῆς ἄνω καὶ κάτω κυμαινούσης
the(-things) but openly and of-the up and down tossing
ἡμᾶς καὶ στροβούσης, διά τε αἰσθήσεως καὶ τῶν ἄλλων
us and whirling through both sense and the other

τερπνῶν τοῦ βίου τούτου περιφορᾶς, τοῦ τε πηλοῦ τῆς
pleasures of-the life this whirl the both clay of-the
ἰλύος, ᾧ ἐμπεπήγμεθα, καὶ τοῦ νόμου τῆς ἁμαρτίας
mire in-which we-have-been-fixed and of-the law of-the sin
ἀντιστρατευομένου τῷ νόμῳ τοῦ πνεύματος, καὶ διαφθείρειν
warring-against the law of-the spirit and to-destroy
ἐπιχειροῦντος τὴν βασιλικὴν ἐν ἡμῖν εἰκόνα, καὶ ὅσον
attempting the royal in us image and as-much-as
τῆς θείας ἀπορρύοίας ἡμῖν συγκαταβέβληται· ὡς μόλις
of-the divine effluence to-us has-been-laid-down-with so-that scarcely
ἄν τις ἑαυτὸν ἢ μακρᾷ φιλοσοφίᾳ παιδαγωγήσας,
— someone himself either by-long philosophy having-trained
καὶ ἀπορρήγνὺς κατὰ μικρὸν τὸ τῆς ψυχῆς εὐγενὲς καὶ
and breaking-off by little the of-the soul noble and
φωτοειδὲς τοῦ ταπεινοῦ καὶ τῷ σκότει συνεζευγμένου, ἢ
light-formed from-the lowly and to-the darkness yoked or
Θεοῦ τυχὼν ἵλεω, ἢ καὶ ἄμφω ταῦτα, καὶ μελέτην ὅτι
of-God having-obtained propitious or even both these-things and practice as
μάλιστα ποιούμενος ἄνω βλέπειν τῆς κατασπώσης ὕλης
most making upward to-look the dragging-down matter
ἐπικρατήσειε. Πρὶν δὲ ταύτην ὑπερσχεῖν ὅση δύναμις
might-master before but this to-overcome as-much-as power
καὶ ἀνακαθᾶραι ἱκανῶς τὴν διάνοιαν, ὑπέρ τε τοὺς ἄλλους
and to-cleanse sufficiently the understanding beyond both the others
μακρῷ γενέσθαι τῇ πρὸς Θεὸν ἐγγύτητι, ἢ ψυχῶν
by-far to-become in-the toward God nearness either of-souls
προστασίαν δέξασθαι, ἢ μεσιτείαν Θεοῦ καὶ ἀνθρώπων
presidency to-accept or mediation of-God and of-men
(τοῦτο γὰρ ἴσως ὁ ἱερεὺς), οὐκ ἀσφαλὲς εἶναι γινώσκω.
this for perhaps the priest not safe to-be I-know

92 Καὶ ὅθεν εἰς τοῦτο ὑπήχθην τὸ δέος; ἵνα μὴ με τοῦ
and whence into this I-was-led the fear that not me than-the
δέοντος δειλότερον ὑπολαμβάνητε, ἀλλὰ καὶ σφόδρα
needful more-cowardly you-may-suppose but even exceedingly
ἐπαινῆτε τῆς προμηθείας. Ἀκούω μὲν αὐτοῦ Μωσέως,
you-may-praise for-the forethought I-hear indeed himself Moses
ἡνίκα ἐχρημάτιζεν αὐτῷ ὁ Θεὸς, ὅτι, πλειόνων εἰς τὸ
when was-giving-oracles to-him — God that more to the
ὄρος προσκεκλημένων, ὧν εἷς ἦν καὶ Ἀαρὼν σὺν τοῖς
mountain having-been-called of-whom one was also Aaron with the
παισὶ τοῖς δύο τοῖς ἱερεῦσι, καὶ ἑβδομήκοντα πρεσβυτέρων
sons the two the priests and seventy elders
τῆς γερουσίας, οἱ μὲν λοιποὶ προσκυνῆσαι πόῤῥωθεν
of-the council the indeed rest to-worship from-afar
ἐκελεύσθησαν, ἐγγίσαι δὲ Μωσῆς μόνος, οὐ συναναβῆναι δὲ
were-bidden to-draw-near but Moses alone not to-go-up-with and
ὁ λαὸς ὡς οὐ πάντων ὄντος Θεοῦ γενέσθαι πλησίον, πλὴν
the people as not of-all being of-God to-come near except
εἴ τις κατὰ Μωσέα Θεοῦ χωρῆσαι δόξαν δυνάμενος· καὶ
if anyone according-to Moses of-God to-contain glory able and
ἔτι πρὸ τούτων ἐν ἀρχῇ τῆς νομοθεσίας, τοὺς μὲν ἄλλους
still before these in beginning of-the lawgiving the indeed others
σάλπιγγες, καὶ ἀστραπαὶ, καὶ βρονταὶ, καὶ γνόφος, καὶ ὅλον
trumpets and lightnings and thunders and gloom and whole
καπνιζόμενον τὸ ὄρος, καὶ ἀπειλαὶ φρικώδεις, κἂν θηρίον
smoking the mountain and threats shuddering even-if beast
θίγῃ τοῦ ὄρους, λιθοβοληθήσεται, καὶ ἄλλα τοιαῦτα δείματα
touch the mountain it-shall-be-stoned and other such terrors
ἵστη κάτω, καὶ μέγα ἦν αὐτοῖς, μόνης ἀκοῦσαι τῆς
set below and great-thing it-was for-them of-alone to-hear the
τοῦ Θεοῦ φωνῆς, εὖ μάλα ἁγνισαμένοις· Μωσῆς δὲ καὶ
— of-God voice well very having-purified-themselves Moses but both

ἄνεισι, καὶ τῆς νεφέλης εἴσω χωρεῖ, καὶ νομοθετεῖται, καὶ
goes-up and of-the cloud within goes and receives-the-law and
δέχεται πλάκας· τοῖς μὲν πολλοῖς τὰς τοῦ γράμματος,
receives tablets for-the indeed many the(-ones) of-the letter
τοῖς δὲ ὑπὲρ τοὺς πολλοὺς τὰς τοῦ πνεύματος.
for-the(-ones) but beyond the many the(-ones) of-the spirit
Ἀκούω δὲ Ναδὰβ καὶ Ἀβιοὺδ, ὅτι, ξένῳ πυρὶ 93
I-hear and Nadab and Abihu that with-strange fire
θυμιάσαντες μόνον, ξένῳ καὶ ἀνηλώθησαν κολασθέντες
having-burned-incense only with-strange also were-consumed having-been-punished
δι᾽ ὧν ἠσέβησαν, καὶ τὸν αὐτὸν εὑρόντες τῆς
through which-things they-were-impious and the same having-found of-the
ἀπωλείας, ὃν καὶ τῆς ἀσεβείας καιρὸν καὶ τόπον· καὶ
destruction which also of-the impiety time and place and
οὐδὲ Ἀαρὼν ἤρκεσε πρὸς σωτηρίαν αὐτοῖς ὁ πατὴρ,
not-even Aaron sufficed for salvation for-them the father
ὁ Μωσέως παρὰ Θεῷ δεύτερος. Γινώσκω δὲ καὶ
the(-one) to-Moses with God second I-know and also
Ἡλεὶ τὸν ἱερέα, καὶ μικρὸν ὕστερον Ὀζᾶν, τὸν μὲν
Eli the priest and little later Uzzah the(-one) indeed
ὑπὲρ τῆς τῶν παίδων παρανομίας ἀπαιτηθέντα δίκην,
for the of-the sons lawlessness having-been-required penalty
ἣν ἐτόλμων κατὰ τῶν θυσιῶν πρὸ καιροῦ τῶν λεβήτων
which they-dared against the sacrifices before time of-the cauldrons
ἀπαρχόμενοι, καὶ ταῦτα οὐκ ἀποδεχόμενον αὐτῶν τὴν
taking-firstfruits and this not approving their the
ἀσέβειαν, ἀλλὰ πολλὰ πολλάκις ἐπιτιμήσαντα· τὸν
impiety but many-things often having-rebuked the(-other)
δὲ, ὅτι, ψαύσας τῆς κιβωτοῦ μόνον περισπασθείσης ὑπὸ
but because having-touched the ark only being-tilted by

τοῦ μόσχου, τὴν μὲν περιεσώσατο, αὐτὸς δὲ ἀπώλετο,
the calf the(-ark) indeed he-saved himself but perished
φυλάσσοντος τοῦ Θεοῦ τῇ κιβωτῷ τὸ σεβάσμιον.
guarding — God for-the ark the reverence

94 Οἶδα δ' ἔγωγε μηδὲ τοὺς ἐν τοῖς σώμασι μώμους
I-know and I-for-my-part not-even the in the bodies blemishes
τῶν ἱερέων, ἢ τῶν θυμάτων ἀνεξετάστους μένοντας, ἀλλὰ
of-the priests or of-the victims unexamined remaining but
τελείους τέλεια προσάγειν νενομισμένον, σύμβολον,
perfect perfect-things to-offer having-been-customary symbol
οἶμαι, τοῦτο τῆς κατὰ ψυχὴν ἀρτιότητος· μηδὲ στολῆς
I-think this of-the according-to soul soundness nor robe
τῆς ἱερατικῆς, ἢ σκεύους τινὸς τῶν ἁγίων ψαύειν παντὶ
of-the priestly or vessel any of-the holy-things to-touch for-everyone
θεμιτὸν ὄν· μηδὲ τὰς θυσίας αὐτὰς, ὑφ' ὧν, καὶ ὅτε,
lawful being nor the sacrifices themselves by whom and when
καὶ οὗ μὴ καθῆκον ἦν, ἀναλίσκεσθαι· μηδὲ τὸ ἔλαιον
and where not fitting it-was to-be-consumed nor the oil
ἀπομιμεῖσθαι τῆς χρίσεως, μηδὲ τὸ θυμίαμα τῆς συνθέσεως·
to-imitate of-the anointing nor the incense of-the compounding
μηδὲ εἰς τὸ ἱερὸν εἰσιέναι, ὅστις ἢ ψυχὴν ἢ σῶμα οὐ
nor into the temple to-go-in whoever either in-soul or body not
καθαρὸς, μέχρι καὶ τῶν μικροτάτων· τοσούτου δεῖ εἰς
pure as-far-as even the smallest so-far is-it into
τὰ ἅγια τῶν ἁγίων προσφοιτᾷν θαῤῥοῦντα, ὧν ἑνὶ
the holy of-the holy-things to-resort being-bold of-which for-one
καὶ ἅπαξ τοῦ ἐνιαυτοῦ μόνον ἐπιβατὸν ἦν· τοσούτου δεῖ
and once of-the year only accessible it-was so-far is-it
τὸ καταπέτασμα, ἢ τὸ ἱλαστήριον, ἢ τὴν κιβωτὸν, ἢ τὰ
the veil or the mercy-seat or the ark or the
χερουβὶμ, ἢ προσβλέπειν εἶναι παντὸς, ἢ προσάπτεσθαι.
cherubim either to-look-at to-be for-everyone or to-touch

Ταῦτα οὖν εἰδὼς ἐγὼ, καὶ ὅτι μηδεὶς ἄξιος τοῦ μεγάλου 95
these-things therefore knowing I and that no-one worthy of-the great
καὶ Θεοῦ, καὶ θύματος, καὶ ἀρχιερέως, ὅστις μὴ πρότερον
both God and victim and high-priest who not first
ἑαυτὸν παρέστησε τῷ Θεῷ θυσίαν ζῶσαν, ἁγίαν, μηδὲ
himself presented — to-God sacrifice living holy nor
τὴν λογικὴν λατρείαν εὐάρεστον ἐπεδείξατο, μηδὲ ἔθυσε
the reasonable service well-pleasing showed nor sacrificed
τῷ Θεῷ θυσίαν αἰνέσεως καὶ πνεῦμα συντετριμμένον, ἣν
— to-God sacrifice of-praise and spirit contrite which
μόνον ὁ πάντα δοὺς ἀπαιτεῖ παρ᾽ ἡμῶν θυσίαν, πῶς
alone the(-one) all-things having-given demands from us sacrifice how
ἔμελλον θαῤῥῆσαι προσφέρειν αὐτῷ τὴν ἔξωθεν, τὴν τῶν
was-I-to dare to-offer to-him the from-outside the of-the
μεγάλων μυστηρίων ἀντίτυπον· ἢ πῶς ἱερέως σχῆμα καὶ
great mysteries antitype or how of-priest form and
ὄνομα ὑποδύεσθαι, πρὶν ὁσίοις ἔργοις τελειῶσαι τὰς χεῖρας;
name to-put-on before with-holy works to-perfect the hands
πρὶν τὸν ὀφθαλμὸν ἐθίσαι βλέπειν ὑγιῶς τὴν κτίσιν, καὶ
before the eye to-accustom to-see soundly the creation and
εἰς θαῦμα μόνον τοῦ κτίσαντος, ἀλλὰ μὴ ζημίαν τοῦ
for wonder only of-the(-one) having-created but not harm of-the(-one)
πλάσαντος; πρὶν τῇ παιδείᾳ Κυρίου ἱκανῶς ἀνοιγῆναι
having-molded before by-the training of-Lord sufficiently to-be-opened
τὰ ὦτα, καὶ προστεθῆναί μοι ὠτίον μὴ βαρέως ἀκούειν
the ears and to-be-added to-me ear not heavily to-bear
δυνάμενον, ἀλλὰ ἐνώτιον χρυσοῦν σαρδίῳ πολυτελεῖ δεθῆναι,
able but earring golden with-sardius costly to-be-bound
λόγον σοφοῦ εἰς οὖς εὐήκοον; πρὶν τὸ στόμα, τὰ χείλη,
word of-wise into ear obedient before the mouth the lips
τὴν γλῶσσαν, τὸ μὲν ἀνοιγῆναι καὶ ἑλκῦσαι πνεῦμα, ἢ
the tongue the(-one) indeed to-be-opened and to-draw spirit or

πλατυνθῆναι καὶ πληρωθῆναι τῷ πνεύματι λαλουμένων
to-be-widened and to-be-filled with-the spirit of-spoken
μυστηρίων τε καὶ δογμάτων· τὰ δὲ αἰσθήσει θείᾳ,
mysteries both and doctrines the(-others) but by-sense divine
κατὰ τὴν σοφίαν εἰπεῖν, δεθῆναι, προσθείην δ' ἂν ὅτι
according-to the wisdom to-say to-be-bound I-would-add and — that
καὶ ἐν καιρῷ λυθῆναι· τὴν δὲ πλησθῆναι ἀγαλλιάσεως,
also in season to-be-loosed the(-one) but to-be-filled with-exultation
καὶ θείας μελῳδίας γενέσθαι πλῆκτρον, ἐξεγειρομένην τῇ
and of-divine melody to-become plectrum being-roused by-the
δόξῃ, συνεξεγειρομένην ὄρθριον, καὶ μέχρι τοῦ κολληθῆναι
glory being-roused-with at-dawn and as-far-as the to-be-glued
τῷ λάρυγγι κάμνουσαν; πρὶν ἐπὶ πέτραν στῆναι τοὺς
to-the throat toiling before upon rock to-be-set the
πόδας μου, καταρτισθέντας ὡς ἐλάφων, καὶ κατευθυνθῆναί
feet my perfected as of-deer and to-be-directed
μοι τὰ κατὰ Θεὸν διαβήματα, μὴ παρ' ὀλίγον
for-me the(-steps) according-to God steps not by little
μηδ' ὅλως ἐκχεόμενα; πρὶν ἅπαν μέλος ὅπλον γενέσθαι
nor at-all being-poured-out before every limb weapon to-become
δικαιοσύνης, καὶ ἀποθέσθαι πᾶσαν νεκρότητα, καταποθεῖσαν
of-righteousness and to-put-off all deadness having-been-swallowed
ὑπὸ τῆς ζωῆς, καὶ ὑποχωρήσασαν τῷ πνεύματι;
by the life and having-given-way to-the spirit

96 Τίς μήπω τοῖς ἁγνοῖς καὶ πεπυρωμένοις τοῦ Θεοῦ λογίοις
who not-yet by-the pure and fired — of-God oracles
καεὶς τὴν καρδίαν ἐν τῷ διανοιγῆναι αὐτῷ τὰς
having-been-burned the heart in the to-be-opened to-him the
Γραφάς· μηδὲ ἀπογραψάμενος αὐτὰ τρισσῶς ἐπὶ πλάτος
Scriptures nor having-copied them threefold upon breadth
τῆς καρδίας, ὥστε νοῦν ἔχειν Χριστοῦ· μηδὲ τῶν τοῖς
of-the heart so-as mind to-have of-Christ nor of-the to-the

πολλοῖς ἀποκρύφων καὶ ἀοράτων καὶ σκοτεινῶν θησαυρῶν
many hidden and invisible and dark treasures
εἴσω γενόμενος, ὥστε τὸν ἐν αὐτοῖς κατοπτεῦσαι πλοῦτον,
within having-become so-as the in them to-observe wealth
καὶ ἄλλους πλουτίζειν δύνασθαι, πνευματικὰ συγκρίνων
and others to-enrich to-be-able spiritual-things comparing
πνευματικοῖς;
with-spiritual
Τίς μήπω θεωρήσας, ὡς θεωρεῖν ἄξιον, τὴν τερπνότητα 97
who not-yet having-beheld as to-behold worthy the delight
Κυρίου, καὶ ἐπισκεψάμενος τὸν ναὸν αὐτοῦ, μᾶλλον δὲ ναὸς
of-Lord and having-visited the temple his rather but temple
γενόμενος Θεοῦ ζῶντος καὶ ζῶν κατοικητήριον Χριστοῦ
having-become of-God living and living dwelling of-Christ
ἐν πνεύματι; τίς μήπω τύπων καὶ ἀληθείας ἐπιγνοὺς
in spirit who not-yet of-types and of-truth having-recognized
συγγένειαν καὶ διάκρισιν, καὶ τῶν μὲν ἀναχωρήσας,
kinship and distinction and from-the(-ones) indeed having-withdrawn
τῇ δὲ προσθέμενος, ἵνα, τὴν τοῦ γράμματος φυγὼν
to-the(-other) but having-attached-himself that the of-the letter having-fled
παλαιότητα, τῇ καινότητι δουλεύσῃ τοῦ πνεύματος,
oldness to-the newness be-may-serve of-the spirit
καὶ μεταβῇ καθαρῶς ἐπὶ τὴν χάριν ἀπὸ τοῦ νόμου
and may-pass-over purely to the grace from the law
πληρουμένου πνευματικῶς ἐν τῇ καταργήσει τοῦ σώματος;
being-fulfilled spiritually in the abolition of-the body
Τίς μήπω διὰ πασῶν ὁδεύσας τῶν τοῦ Χριστοῦ 98
who not-yet through all having-journeyed the — of-Christ
προσηγοριῶν καὶ δυνάμεων, καὶ ἔργῳ καὶ θεωρίᾳ,
appellations and powers both in-deed and in-contemplation
τῶν τε ὑψηλοτέρων καὶ πρώτων, καὶ τῶν δι᾽
the both higher and first and the(-ones) because-of

ἡμᾶς ταπεινοτέρων καὶ τελευταίων, τοῦ Θεοῦ, τοῦ Υἱοῦ,
us lower and last — of-God of-the Son
τῆς Εἰκόνος, τοῦ Λόγου, τῆς Σοφίας, τῆς Ἀληθείας,
of-the Image of-the Word of-the Wisdom of-the Truth
τοῦ Φωτὸς, τῆς Ζωῆς, τῆς Δυνάμεως, τῆς Ἀτμίδος,
of-the Light of-the Life of-the Power of-the Vapor
τῆς Ἀπορῥοίας, τοῦ Ἀπαυγάσματος, τοῦ Ποιητοῦ, τοῦ
of-the Effluence of-the Radiance of-the Maker of-the
Βασιλέως, τῆς Κεφαλῆς, τοῦ Νόμου, τῆς Ὁδοῦ, τῆς Θύρας,
King of-the Head of-the Law of-the Way of-the Door
τοῦ Θεμελίου, τῆς Πέτρας, τοῦ Μαργαρίτου, τῆς Εἰρήνης,
of-the Foundation of-the Rock of-the Pearl of-the Peace
τῆς Δικαιοσύνης, τοῦ Ἁγιασμοῦ, τῆς Ἀπολυτρώσεως,
of-the Righteousness of-the Sanctification of-the Redemption
τοῦ Ἀνθρώπου, τοῦ Δούλου, τοῦ Ποιμένος, τοῦ Ἀμνοῦ,
of-the Man of-the Servant of-the Shepherd of-the Lamb
τοῦ Ἀρχιερέως, τοῦ Θύματος, τοῦ Πρωτοτόκου πρὸ
of-the High-priest of-the Victim of-the Firstborn before
κτίσεως, Πρωτοτόκου ἐκ τῶν νεκρῶν, τῆς Ἀναστάσεως·
creation Firstborn from the dead of-the Resurrection
τίς τούτων τῶν ὀνομάτων τε καὶ πραγμάτων ἐπακούων
who of-these the names both and things hearing
εἰκῇ, καὶ μήπω κοινωνήσας τῷ Λόγῳ, μηδὲ μεταλαβὼν
idly and not-yet having-communed with-the Word nor having-partaken
αὐτοῦ, καθ' ὃ τούτων ἕκαστόν ἐστί τε καὶ κέκληται;
of-him according-to which of-these each is both and has-been-called
99 Τίς, μήπω σχολάσας, μηδὲ μαθὼν λαλεῖν Θεοῦ σοφίαν
who not-yet having-had-leisure nor having-learned to-speak of-God wisdom
ἐν μυστηρίῳ τὴν ἀποκεκρυμμένην, ἔτι νήπιος ὢν, ἔτι
in mystery the(-one) having-been-hidden still infant being still
τρεφόμενος γάλακτι, ἔτι τῶν οὐκ ἀριθμουμένων ἐν τῷ
being-fed with-milk still of-the(-ones) not numbered in —

Ἰσραὴλ, οὐδὲ καταλεγομένων εἰς Θεοῦ παράταξιν, μήπω
Israel nor enlisted into of-God battle-line not-yet
τὸν Χριστοῦ σταυρὸν ὡς ἀνὴρ αἴρειν δυνάμενος, μήπω
the of-Christ cross as man to-carry able not-yet
μηδὲ ἄλλο τι μέλος ὢν ἴσως τῶν τιμιωτέρων, ἔπειτα εἰς
even other any limb being perhaps of-the more-honorable then into
κεφαλὴν καταστῆναι Χριστοῦ πληρώματος δέξεται χαίρων
head to-be-set of-Christ's fullness will-accept rejoicing
καὶ προθυμούμενος; Οὐκ ἔμοιγε κριτῇ καὶ συμβούλῳ·
and being-eager not with-me-at-least as-judge and counselor
ἀλλ' οὗτος ὁ φόβων μέγιστος, οὗτος ὁ κινδύνων ἔσχατος
but this the of-fears greatest this the of-dangers last
παντὶ τῷ συνιέντι καὶ τοῦ κατορθουμένου τὸ
for-every the(-one) understanding both of-the(-thing) being-achieved the
μέγεθος, καὶ τῆς διαμαρτίας τὸν ὄλεθρον.
greatness and of-the failure the destruction
Ἄλλος μὲν οὖν πλείτω κατ' ἐμπορίαν, ἔλεγον, καὶ τὰ 100
another indeed therefore let-sail for trade I-said and the
μακρὰ διαπεραιούσθω πελάγη, καὶ συμφερέσθω τοῖς ἀνέμοις
long let-cross seas and let-be-borne-along with-the winds
ἀεὶ καὶ τοῖς κύμασι μεγάλα καὶ κερδήσων, ἂν οὕτω τύχῃ,
always and with-the waves great-things both going-to-gain if so it-happen
καὶ κινδυνεύσων, ὅστις πλευστικώτατος ἢ ἐμπορικώτατος·
and going-to-risk whoever most-seafaring or most-mercantile
ἐμοὶ δ' οὖν αἱρετώτερον ἐπὶ γῆς ἀνέχοντι, βραχεῖαν
for-me but anyway more-choiceworthy upon land staying short
αὔλακα τέμνοντι καὶ γλυκεῖαν, πόῤῥωθεν ἀσπαζομένῳ κέρδη
furrow cutting and sweet from-afar greeting gains
καὶ θάλασσαν, ζῆν οὕτως ὅπως ἂν δύνωμαι σὺν ὀλίγῃ καὶ
and sea to-live so as — I-can with little and

μικρᾷ τῇ μάζῃ, καὶ βίον ἕλκειν ἀσφαλῆ καὶ ἀκύμαντον, ἢ
small the barley-cake and life to-draw safe and waveless than
μακρὸν ἀναῤῥιπτεῖν καὶ μέγαν ἐπὶ μεγάλοις κέρδεσι κίνδυνον.
long to-throw and great upon great gains danger

ORATION 2, 101–110 · WHY HE RETURNED: JONAH

The lofty lose by undertaking too little, but the small are safe with small loads: that is his defense for fleeing. He returned first out of longing for his people and theirs for him; second to support his aged parents, his father a new Abraham and his mother a Sarah, lest he lose their blessing; third because of a story in Scripture. Jonah fled God's face not because he grudged Nineveh its rescue but, Gregory suggests, from shame at seeming a liar when the city repented; a wise man added that he could not hope to hide from God, but saw the grace of prophecy passing from Israel to the nations. Gregory has no such excuse for refusing the yoke.

101 Ὑψηλῷ μὲν γὰρ ζημία τὸ μὴ ἐγχειρεῖν μείζοσι, μηδὲ
for-lofty indeed for loss the not to-undertake greater-things nor
εἰς πλείους διατείνειν τὴν ἀρετὴν, ἀλλ' ἐπὶ μικρῶν
to more to-extend the virtue but upon small-things
ἵστασθαι, οἷον μεγάλῳ φωτὶ μικρὸν οἶκον αὐγάζοντα, ἢ
to-stand as with-great light small house illuminating or
πανοπλίᾳ νεανικῇ σῶμα παιδικὸν περισκέποντα· μικρῷ δὲ
with-panoply youthful body childish covering for-small but
ἀσφάλεια μικρὰ φορτίζεσθαι, ἀλλὰ μὴ, τοῖς ὑπὲρ
safety small-things to-be-burdened but not to-the(-things) beyond
δύναμιν ἑαυτὸν ὑποτιθέντα, γέλωτά τε ὀφλισκάνειν ὁμοῦ,
power himself submitting laughter both to-incur together
καὶ προστιθέναι τὸν κίνδυνον· ὥσπερ γε καὶ πύργον
and to-add the danger just-as indeed also tower

οἰκοδομεῖν οὐκ ἄλλῳ τινὶ προσῆκεν ἢ ὃς ἔχει τὰ
to-build not for-other anyone it-befits than who has the(-things)
πρὸς ἀπαρτισμὸν, ὡς ἠκούσαμεν.
for completion as we-heard
Ἔχετε τὴν ἀπολογίαν τὴν ὑπὲρ τῆς φυγῆς, καὶ ἴσως 102
you-have the defense the(-one) for the flight and perhaps
οὐ μετρίαν. Ἃ μὲν οὖν με ἀφ' ὑμῶν ἀπήγαγεν,
not moderate the(-things)-which indeed then me from you led-away
ὦ φίλοι καὶ ἀδελφοὶ, λυπηρῶς μὲν ἐμοὶ καὶ ὑμῖν ἴσως,
O friends and brothers grievously indeed for-me and for-you perhaps
ἀναγκαίως δ' οὖν, ὡς γοῦν ἐμαυτῷ τότε ἐδόκουν,
necessarily but anyway as at-any-rate to-myself then I-seemed
ταῦτά ἐστιν· ἐπανήγαγε δέ με μάλιστα μὲν ὁ πρὸς ὑμᾶς
these-things are brought-back but me most indeed the toward you
πόθος, καὶ τὸ ἀντιποθούντων αἰσθάνεσθαι· οὐδὲν γὰρ
longing and the of-them-longing-in-return to-perceive nothing for
οὕτως ἰσχυρὸν πρὸς ἀγάπην, ὡς ἀντιδιδομένη διάθεσις.
so strong toward love as returned disposition
Δεύτερον δὲ ἡ ἐμὴ φροντὶς, τὸ ἐμὸν ἔργον, ἡ τῶν ἱερῶν 103
second and the my care the my work the of-the holy
γονέων πολιὰ καὶ ἀσθένεια, ἐπ' ἐμοὶ πλέον ἢ τῷ χρόνῳ
parents gray-hair and weakness on me more than by-the time
καμνόντων, Ἀβραὰμ τοῦδε τοῦ πατριάρχου, τῆς τιμίας ἐμοὶ
toiling of-Abraham this the patriarch the precious to-me
κεφαλῆς καὶ μετ' ἀγγέλων ἀριθμουμένης, καὶ Σάῤῥας, τῆς
head and with angels being-numbered and of-Sarah the(-one)
καὶ πνευματικῶς ὠδινούσης ἡμᾶς ἐν τῇ διδασκαλίᾳ τῆς
also spiritually travailing-with us in the teaching of-the
πίστεως, ὧν γενέσθαι βακτηρία τῷ γήρᾳ, καὶ ὑπερείδειν
faith of-whom to-become staff for-the old-age and to-prop
τὴν ἀσθένειαν, τῶν πρώτων εὐχὴν εὐξάμενος, καὶ μέντοι
the weakness of-the first prayer having-prayed and indeed

καὶ πληρώσας ταύτην, ὁπόση δύναμις· ὡς καὶ φιλοσοφίας
also having-fulfilled it as-much-as power so-that even philosophy
ὑπεριδεῖν αὐτῆς, τοῦ πάντων ἐμοὶ τιμιωτάτου κτήματος
to-disdain itself the of-all to-me most-precious possession
καὶ ὀνόματος, ἢ τό γε ἀληθέστερον εἰπεῖν, τὸ μὴ
and name or the(-thing) indeed truer to-say the not
φιλοσοφεῖν δόξαι πρῶτον φιλοσοφήσας, οὐκ ἤνεγκα διαπεσεῖν
to-philosophize to-seem first having-philosophized not I-bore to-fail
μοι τὸν μόχθον ἐκ μιᾶς ὑποθέσεως, οὐδὲ καταλυθῆναι
for-me the toil from one occasion nor to-be-destroyed
τὴν εὐλογίαν, ἣν καὶ κλέψαι τις ἤδη τῶν πάλαι
the blessing which even to-have-stolen someone already of-the of-old
ὁσίων λέγεται, βρώματι τὸν πατέρα καὶ τριχῶν πλάσματι
holy is-said with-food the father and of-hairs by-molding
σοφισάμενος, καὶ τὸ καλὸν οὐ καλῶς δι᾽ ἐπιβουλῆς
having-outwitted and the good not well through plot
θηρασάμενος. Δύο μὲν δὴ ταῦτα τῆς ἐμῆς ἥττης καὶ
having-hunted two indeed indeed these-things of-the my defeat and
ἡμερότητος αἴτια. Καὶ ἴσως οὐκ ἄτοπον, ἀμφοτέροις ἐκείνοις
gentleness causes and perhaps not absurd to-both those
εἶξαι καὶ ὑποχωρῆσαι τοὺς λογισμούς, ἐπεὶ καὶ τοῦ νικᾶσθαι
to-yield and to-give-way the reasonings since also of-the to-be-conquered
καιρὸς, ὥσπερ οἶμαι καὶ παντὸς πράγματος· καὶ κρεῖττον
time as I-think also of-every thing and better
ἡττᾶσθαι καλῶς ἢ νικᾷν ἐπισφαλῶς καὶ ἀθέσμως.
to-be-defeated well than to-conquer perilously and lawlessly
104 Τρίτον δὲ ὃ καὶ μέγιστον, καὶ δὴ τοῦτο εἰπὼν ἔτι,
third and which also greatest and indeed this having-said still
τὰ λοιπὰ σιωπήσομαι. Ἐμνήσθην ἡμερῶν ἀρχαίων,
the remaining-things I-will-keep-silent-about I-remembered days ancient
καὶ πρός τινα τῶν παλαιῶν ἱστοριῶν ἀναδραμὼν, ἐκεῖθεν
and to some of-the old histories having-run-back thence

εἴλκυσα συμβουλὴν ἐμαυτῷ πρὸς τὰ παρόντα· μὴ γὰρ
I-drew counsel for-myself toward the present-things not for
εἰκῇ ταῦτα συγγεγράφθαι νομίζωμεν, μηδὲ ὄχλον
at-random these-things to-have-been-written let-us-think nor crowd
ἄλλως εἶναι ῥημάτων τε καὶ πραγμάτων, ψυχαγωγίας
idly to-be of-words both and of-deeds of-entertainment
ἕνεκα τῶν ἀκουόντων συγκείμενα, καὶ οἷον ἀκοῆς
for-the-sake-of of-the hearers composed and as-it-were of-hearing
τι δέλεαρ μέχρι τῆς ἡδονῆς ἱστάμενον. Ταῦτα μὲν
some bait as-far-as the pleasure standing these-things indeed
παιζόντων μῦθοι καὶ Ἕλληνες, οἳ, τῆς ἀληθείας ὀλίγα
of-joking-men myths and Greeks who of-the truth little
φροντίζοντες, τῷ κομψῷ τῶν πλασμάτων καὶ τῷ λίχνῳ
caring by-the elegance of-the fictions and by-the daintiness
τῶν λέξεων καὶ ἀκοὴν καὶ ψυχὴν γοητεύουσιν.
of-the phrases both hearing and soul bewitch
Ἡμεῖς δὲ, οἱ καὶ μέχρι τῆς τυχούσης κεραίας καὶ 105
we but the(-ones) even as-far-as the chance hook and
γραμμῆς τοῦ πνεύματος τὴν ἀκρίβειαν ἕλκοντες, οὔποτε
line of-the spirit the exactness drawing never
δεξόμεθα, οὐ γὰρ ὅσιον, οὐδὲ τὰς ἐλαχίστας πράξεις
shall-we-accept not for holy even the least deeds
εἰκῇ σπουδασθῆναι τοῖς ἀναγράψασι, καὶ μέχρι τοῦ
at-random to-have-been-pursued by-the(-ones) having-recorded and as-far-as the
παρόντος μνήμῃ διασωθῆναι· ἀλλ' ἵν' ἡμεῖς ἔχωμεν
present by-memory to-have-been-preserved but that we may-have
ὑπομνήματα καὶ παιδεύματα τῆς τῶν ὁμοίων, εἴ ποτε
memorials and lessons of-the of-the like if ever
συμπέσοι καιρὸς, διασκέψεως· ὥστε τὰ μὲν φεύγειν,
should-coincide occasion consideration so-that the(-things) indeed to-flee

τὰ δὲ αἱρεῖσθαι, οἷον κανόσι τισὶ καὶ τύποις, τοῖς
the(-things) but to-choose as by-rules some and types the
προλαβοῦσιν ἑπόμενοι παραδείγμασι.
preceding following examples

106 Τίς οὖν ἡ ἱστορία καὶ πόθεν ἡ συμβουλή; οὐδὲ γὰρ χεῖρον
what therefore the history and whence the counsel nor for worse
ἴσως ἀσφαλείας ἕνεκεν τῶν πολλῶν διελθεῖν. Ἔφευγε
perhaps of-safety for-the-sake-of the many to-go-through fled
καὶ Ἰωνᾶς ἀπὸ προσώπου τοῦ Θεοῦ, μᾶλλον δὲ φεύγειν
also Jonah from face — of-God rather but to-flee
ᾤετο· ἀλλὰ κατελήφθη πελάγει, καὶ χειμῶνι, καὶ κλήρῳ,
thought but was-caught by-sea and by-storm and by-lot
καὶ γαστρὶ κήτους, καὶ τριημέρῳ ταφῇ, τύπον ἐχούσῃ
and by-belly of-whale and by-three-day burial type having
μυστηρίου μείζονος. Ἀλλ' ἐκεῖνος μὲν, ἵνα μὴ τὴν σκυθρωπὴν
of-mystery greater but he indeed that not the gloomy
καὶ ἄτοπον ἀγγελίαν ἀγγείλῃ τοῖς Νινευίταις, καὶ
and absurd message he-might-announce to-the Ninevites and
μετὰ τοῦτο ψεύστης ἁλῷ, σωθείσης τῇ μετανοίᾳ τῆς
after this liar he-be-caught having-been-saved by-the repentance the
πόλεως· οὐ γὰρ τῇ σωτηρίᾳ τῶν πονηρῶν ἐδυσχέραινεν,
city not for at-the salvation of-the wicked he-was-vexed
ἀλλὰ τὴν διακονίαν τοῦ ψεύδους ἠσχύνετο, καὶ οἷον
but the ministry of-the lie he-was-ashamed-of and as-it-were
ἐζηλοτύπει τῆς προφητείας τὸ ἀξιόπιστον, ὅπερ ἐν αὐτῷ
was-jealous-for of-the prophecy the credibility which in him
καταλυθῆναι κίνδυνος ἦν, οὐ δυναμένων τῶν πολλῶν
to-be-destroyed danger there-was not being-able the many
συνιδεῖν τῆς τοῦ Θεοῦ περὶ ταῦτα οἰκονομίας τὸ βάθος.
to-see-together of-the — of-God about these-things economy the depth

Ὡς δὲ ἐγώ τινος ἤκουσα σοφοῦ περὶ ταῦτα ἀνδρὸς, οὐκ 107
as but I some heard wise about these-things man not
ἀτόπως βοηθοῦντος τῷ φαινομένῳ τῆς ἱστορίας ἀτόπῳ,
absurdly helping the apparent of-the history absurdity
καὶ ἱκανοῦ καταλαβεῖν ἀνδρὸς προφήτου βαθύτητα, οὐδὲ
and able to-grasp of-man prophet depth not-even
ταῦτα ἦν ἃ τὸν μακάριον Ἰωνᾶν ἐποίει φυγάδα, καὶ
these-things were which the blessed Jonah made fugitive and
εἰς Ἰόππην ἤγαγε, καὶ ἐξ Ἰόππης ἀνήγαγεν ἐπὶ Θαρσεῖς,
to Joppa led and from Joppa led-up to Tarshish
πελάγει πιστεύσαντα τὴν ἑαυτοῦ κλοπήν· οὔτε γὰρ
to-sea having-entrusted the his-own theft neither for
ἀγνοεῖν τοῦ Θεοῦ τὴν ἐπίνοιαν, προφήτην γε ὄντα,
to-be-ignorant-of — of-God the intention prophet indeed being
εἰκὸς αὐτὸν ἦν· ὅτι διὰ τῆς ἀπειλῆς, τὸ μὴ παθεῖν τὰ
likely him it-was that through the threat the not to-suffer the(-things)
τῆς ἀπειλῆς Νινευΐταις ἐπραγματεύετο κατὰ τὴν μεγάλην
of-the threat for-the-Ninevites he-was-contriving according-to the great
αὐτοῦ σοφίαν, καὶ κατὰ τὰ ἀνεξερεύνητα αὐτοῦ κρίματα,
his wisdom and according-to the unsearchable his judgments
καὶ τῶν ὁδῶν αὐτοῦ τὸ ἀνεξιχνίαστόν τε καὶ ἀκατάληπτον·
and of-the ways his the untraceable both and incomprehensible
οὔτ', εἴπερ ἠπίστατο, μὴ ἀκολουθῆσαι Θεῷ, δι' οὗ περ
nor if-indeed he-knew not to-follow God through which indeed
ἐβούλετο τρόπου τὴν σωτηρίαν ἐκείνοις μηχανωμένῳ. Τὸ δὲ
he-wished manner the salvation for-them contriving the but
δὴ καὶ οἴεσθαι, ὡς ἀποκρύψειν ἑαυτὸν τῷ πελάγει ἤλπισεν
indeed even to-think that to-hide himself in-the sea hoped
Ἰωνᾶς, καὶ τὸν μέγαν ὀφθαλμὸν τοῦ Θεοῦ διαλήσεσθαι
Jonah and the great eye — of-God to-escape
τῇ φυγῇ, μὴ καὶ παντελῶς ἄτοπον ᾖ καὶ ἀπαίδευτον,
by-the flight lest even altogether absurd it-be and uneducated

καὶ οὐχ ὅπως περὶ προφήτου πιστεύεσθαι δίκαιον, ἀλλ'
and not only about prophet to-be-believed just but
οὐδὲ περὶ ἄλλου τινὸς τῶν νοῦν ἐχόντων, καὶ μετρίως
not-even about other any of-the(-ones) sense having and moderately
αἰσθανομένων Θεοῦ καὶ τῆς ὑπὲρ πάντα δυνάμεως.
perceiving God and the above all-things power
108 Ἀλλ' ἤδει μὲν τοῦτο παντὸς μᾶλλον ὁ Ἰωνᾶς, φησὶν
but knew indeed this than-everything rather — Jonah says
ὁ τὸν λόγον εἰπὼν, καὶ ἐγὼ πείθομαι, εἰς ὅ
the(-one) the word having-spoken and I am-persuaded to what
τι ἔφερε τοῖς Νινευΐταις τὸ κήρυγμα, καὶ ὅτι, τὸν
(end) bore for-the Ninevites the proclamation and that the
δρασμὸν βουλεύων, τόπον μὲν ἤμειβε, Θεὸν δὲ οὐκ
flight planning place indeed he-changed God but not
ἔφευγεν· οὐδὲ γὰρ ἄλλος τις ἀνθρώπων, οὐ γῆς ἑαυτὸν
he-fled nor for other any of-men not of-earth himself
κατακρύψας κόλποις, οὐ θαλάσσης βάθεσιν, οὐ πτεροῖς
having-hidden in-bosoms not of-sea in-depths not with-wings
κουφισθεὶς, εἴ τις ἐπίνοια, καὶ ἀναδραμὼν εἰς ἀέρα,
lightened if any device and having-run-up into air
οὐχ ᾅδου τοῖς κατωτάτω προσομιλήσας, οὐ νέφους
not of-Hades with-the lowest having-consorted not of-cloud
παχύτητα περιβαλόμενος, οὐκ ἄλλο τῶν ἁπάντων οὐδὲν εἰς
thickness having-put-around not other of-the all-things anything for
ἀσφάλειαν τοῦ δρασμοῦ βουλευσάμενος· ἀλλὰ τοῦτο μόνον
safety of-the flight having-planned but this alone
τῶν πάντων ἀφευκτότατόν τε καὶ ἀμαχώτατον Θεὸς,
of-the all-things most-inescapable both and most-unconquerable God
κατασχεῖν καὶ ὑπὸ χεῖρα λαβεῖν θελήσας, φθάνει τοὺς
to-hold and under hand to-take having-wished outstrips the

ταχεῖς, σφάλλει τοὺς συνετοὺς, περιτρέπει τοὺς ἰσχυροὺς,
swift trips the intelligent overturns the strong
συστέλλει τοὺς ὑψηλοὺς, ἡμεροῖ θράσος, πιέζει δύναμιν.
humbles the lofty tames rashness presses-down power
Οὐ τοίνυν ἠγνόει τοῦ Θεοῦ τὴν κραταιὰν χεῖρα ὁ 109
not therefore was-ignorant-of — of-God the mighty hand the(-one)
τοῖς ἄλλοις ταύτην ἀπειλῶν Ἰωνᾶς, οὐδὲ ὡς φευξόμενος εἰς
to-the others it threatening Jonah nor as going-to-flee into
ἅπαν διενοεῖτο τὸ θεῖον, μὴ τοῦτο πιστεύσωμεν· ἀλλ' ἐπειδὴ
all intended the divine not this let-us-believe but since
τὴν ἔκπτωσιν ἑώρα τοῦ Ἰσραὴλ, καὶ μεταβαίνουσαν εἰς τὰ
the falling-away he-saw — of-Israel and passing-over to the
ἔθνη τὴν προφητικὴν χάριν ἠσθάνετο, διὰ τοῦτο ὑποχωρεῖ
nations the prophetic grace he-perceived because-of this he-withdraws
τῷ κηρύγματι, καὶ ἀναβάλλεται τὸ ἐπίταγμα· καὶ τὴν
from-the preaching and puts-off the command and the
κατασκοπὴν τῆς χαρᾶς ἀφεὶς, τοῦτο γὰρ Ἑβραίοις ἡ Ἰόππη
watchtower of-the joy having-left this for for-Hebrews — Joppa
δύναται, τὸ παλαιὸν ὕψος λέγω καὶ τὸ ἀξίωμα, εἰς τὸ τῆς
signifies the old height I-mean and the dignity into the of-the
λύπης ἑαυτὸν ἔῤῥιψε πέλαγος· καὶ διὰ τοῦτο χειμάζεται,
grief himself he-threw sea and because-of this he-is-storm-tossed
καὶ καθεύδει, καὶ ναυαγεῖ, καὶ ἐξυπνίζεται, καὶ κληροῦται, καὶ
and sleeps and is-shipwrecked and is-wakened and is-chosen-by-lot and
ὁμολογεῖ τὴν φυγὴν, καὶ καταποντίζεται, καὶ ὑπὸ τοῦ κήτους
confesses the flight and is-plunged and by the whale
καταπίνεται μὲν, οὐκ ἀναλίσκεται δέ· ἀλλ' ἐκεῖ τὸν Θεὸν
is-swallowed indeed not is-consumed but but there — God
ἐπικαλεῖται, καὶ, τὸ θαῦμα, Χριστῷ τριήμερος συνεκδίδοται.
calls-upon and the wonder with-Christ three-days is-given-up-with

Ἀλλ᾽ ὁ μὲν περὶ τούτου λόγος ἀναμεινάτω, μικρὸν
but the indeed about this-one word let-wait little
ὕστερον, ἂν διδῷ Θεὸς, φιλοπονώτερον ἐξεργασθησόμενος.
later if give God more-laboriously going-to-be-worked-out
Νῦν δὲ ὃ μοι λέγειν ὁ λόγος ὡρμήθη, σκοπεῖν ἔπεισί
now but what to-me to-say the speech set-out to-consider comes-upon
μοι καὶ ὑπολαμβάνειν, ὅτι ἐκείνῳ μὲν τάχα τι καὶ
me and to-suppose that for-him indeed perhaps something also
συγγνώμης ἦν, δι᾽ ἣν εἶπον αἰτίαν ὀκνοῦντι τὴν
of-pardon there-was for which I-said cause shrinking-from the
προφητείαν· ἐμοὶ δὲ τίς ἄρα λόγος, ἢ τίς ἀπολογίας
prophecy for-me but what then reason or what of-defense
ὑπελείπετο τόπος ἐπὶ πλέον ἀφηνιάζοντι, καὶ τὸν οὐκ
was-left place upon more throwing-off-the-rein and the not
οἶδ᾽ εἴτ᾽ ἐλαφρὸν εἴτε βαρὺν εἰπεῖν χρή, ἀλλὰ τόν
I-know whether light or heavy to-call one-must but the
γε τεθέντα ζυγὸν τῆς λειτουργίας ἀναινομένῳ;
at-least laid yoke of-the ministry refusing

Even if he were unworthy of the priesthood, disobedience carries its own dreadful threat, as Saul hiding among the baggage shows. Torn between two fears, he chose the stronger, the fear of disobedience, as a middle course between rashness and cowardice. Some of the saints, like Aaron and Isaiah, answered the call at once; others, like Moses and Jeremiah, held back, and none was blamed. So he submits, like Christ led as a sheep to the slaughter, and asks pardon for his delay. He gives himself to his fellow shepherds, his flock, and his father, asks his father's blessing, and prays that God will guide shepherd and flock to the fold above.

Εἰ γὰρ, ὃ μόνον ἐν τούτοις ἰσχυρόν ἐστιν εἰπεῖν 111
if for which alone in these strong is to-say
τοῦτο δοίη τις, ὅτι πολλῷ κατωτέρω κείμεθα
this should-grant someone that much lower we-lie
τοῦ ἱερατεύειν Θεῷ, καὶ ὅτι τῆς Ἐκκλησίας ἄξιον
than-the to-serve-as-priest to-God and that of-the Church worthy
εἶναι χρὴ πρῶτον, εἶτα τοῦ βήματος, καὶ τούτου
to-be one-must first then of-the sanctuary and of-this
πρῶτον, εἶτα τῆς προεδρίας· τάχα ἕτερος ἡμᾶς οὐκ
first then of-the presidency perhaps another us not
ἀφήσει τοῦ τῆς ἀπειθείας ἐγκλήματος. Δεινὴ δὲ
will-release from-the of-the disobedience charge dread and
ἀπειθείας ἀπειλὴ, καὶ δεινὰ ταύτης τὰ ἐπιτίμια, ὥσπερ
of-disobedience threat and dread of-this the penalties as
γε καὶ τῆς ἑτέρας μερίδος, μηδὲν ὀκνεῖν, μηδὲ
indeed also of-the other part nothing to-shrink nor
ἀναδύεσθαι, μηδὲ, ὥσπερ ὁ Σαοὺλ ἐκεῖνος, τοῖς
to-draw-back nor as — Saul that among-the
σκεύεσιν ὑποκρύπτεσθαι τοῖς πατρικοῖς, κἂν πρὸς ὀλίγον
baggage to-hide the paternal even-if for little-while
καλούμενον ἐπὶ προστασίαν, ἀλλ' ὡς ἐπί τι πρᾶγμα
being-called to presidency but as to some thing

κοῦφον καὶ ῥᾷστον χωρεῖν ἑτοίμως, οὗ μηδὲ
light and easiest to-go readily from-which not-even
μεταθέσθαι ἀσφαλὲς, μηδὲ βουλῇ δευτέρᾳ θεραπεῦσαι
to-change-mind safe nor by-counsel second to-heal
τὴν προλαβοῦσαν.
the(-one) preceding

112 Διὰ τοῦτο ἔκαμνον ἐγὼ τοῖς λογισμοῖς τὸ δέον
because-of this I-toiled I in-the reasonings the needful
ἀνερευνώμενος, καὶ μέσος δύο φόβων ἱστάμενος,
searching-out and in-the-middle of-two fears standing
τοῦ τε κατασπῶντος καὶ τοῦ ἀνάγοντος. Καὶ ἐπὶ
of-the both dragging-down and of-the leading-up and for
πλεῖστον τούτοις ἐναπορήσας, καὶ ἀμφοτέρωθεν ἐμαυτὸν
very-long in-these having-been-at-a-loss and on-both-sides myself
ταλαντεύσας, ἢ ὥσπερ ῥεῦμα ἀστάτοις πνεύμασι, τῇδε
having-weighed or as stream by-unstable winds this-way
κἀκεῖσε μετακλιθεὶς, τέλος ἐγενόμην τοῦ σφοδροτέρου,
and-that-way having-been-bent finally I-became of-the more-vehement
καί με νικήσας, ἔχει παρασύρας ὁ φόβος τῆς
and me having-conquered holds having-swept-away the fear of-the
ἀπειθείας. Καὶ σκοπεῖτε ὡς ὀρθῶς καὶ δικαίως διαιτῶ
disobedience and consider how rightly and justly I-arbitrate
τοῖς φόβοις, μήτε τῆς οὐ διδομένης ἐφίεσθαι
between-the fears neither the not given to-aim-at
προστασίας, μήτε ἀπωθεῖσθαι τὴν διδομένην. Τὸ
presidency nor to-thrust-away the(-one) given the(-one)
μὲν γὰρ εἶναι θρασέων, τὸ δὲ ἀπειθῶν, καὶ
indeed for to-be of-the-bold the(-other) but of-the-disobedient and
ἀπαιδεύτων ἀμφότερα. Καὶ μέσος εἰμί τις τῶν
of-the-uneducated both and in-the-middle am-I someone of-the
τε ἄγαν τολμηρῶν καὶ τῶν λίαν δειλῶν· τῶν
both too bold and of-the very cowardly than-the(-ones)

μὲν πάσαις ἐπιπηδώντων δειλότερος, τῶν δὲ
indeed upon-all leaping more-cowardly than-the(-ones) but
φευγόντων πάσας θαρσαλεώτερος. Οὕτως ἐγὼ περὶ τούτων
fleeing all bolder so I about these-things
γινώσκω.
judge
Καὶ, ἔτι διελέσθαι σαφέστερον τῷ μὲν φόβῳ τῆς 113
and still to-distinguish more-clearly for-the indeed fear of-the
προστασίας, τάχα ἂν βοηθήσειε καὶ ὁ νόμος τῆς
presidency perhaps — would-help also the law of-the
εὐπειθείας, τοῦ Θεοῦ τὴν πίστιν ἀμειβομένου διὰ
obedience — God the faith repaying through
τῆς ἑαυτοῦ χρηστότητος, καὶ εἰς προστάτην τέλειον
the his-own kindness and into president perfect
καταρτίζοντος, τὸν αὐτῷ θαῤῥήσαντα, καὶ πάσας
fitting the(-one) in-him having-trusted and all
θέμενον ἐπ᾽ αὐτὸν τὰς ἐλπίδας· τῷ δὲ κινδύνῳ τῆς
having-set upon him the hopes for-the but danger of-the
ἀπειθείας, οὐκ οἶδα τίς ἔσται ὁ βοηθῶν, ἢ τίς
disobedience not I-know who will-be the(-one) helping or what
ὁ θαῤῥεῖν διακελευόμενος λόγος. Φόβος γὰρ μὴ τοῦτό
the to-be-bold bidding word fear for lest this
γε ἀκούσωμεν περὶ ὧν ἐπιστεύθημεν, ὅτι τὰς
indeed we-hear about what-things we-were-entrusted that the
ψυχὰς αὐτῶν ἐκ τῶν χειρῶν ὑμῶν ἐκζητήσω· καὶ
souls their from the hands your I-will-require and
Καθὼς ἀπώσασθέ με τοῦ εἶναι εἰς ἡγουμένους
as you-thrust-away me from-the to-be among leaders
τοῦ λαοῦ μου καὶ ἄρχοντας, οὕτω κἀγὼ ἀπώσομαι
of-the people my and rulers so also-I will-thrust-away
ὑμᾶς τοῦ εἶναι ὑμῖν εἰς βασιλέα· καὶ, Καθὼς οὐκ
you from-the to-be for-you as king and as not

εἰσηκούσατε τῆς φωνῆς μου, ἀλλ' ἐδώκατε νῶτον
you-hearkened to-the voice my but you-gave back
σκληρὸν, καὶ ἠπειθήσατε· οὕτως ἔσται, ὅταν ἐπικαλέσησθέ
hard and you-disobeyed so it-will-be when you-call-on
με· ἐγὼ δὲ οὐκ ἐπιβλέψω ἐπὶ τὴν προσευχὴν ὑμῶν,
me I but not will-look upon the prayer your
οὐδ' εἰσακούσομαι. Ταύτας μὴ γένοιτο ἐλθεῖν ἡμῖν
nor will-hearken these not may-it-be to-come to-us
παρὰ τοῦ δικαίου κριτοῦ τὰς φωνὰς, ᾧ κἂν τὸν
from the just judge the voices to-whom even-if the
ἔλεον ᾄδωμεν, ἀλλὰ καὶ τὴν κρίσιν γε πάντως
mercy we-sing but also the judgment indeed altogether
συνᾴδομεν.
we-sing-together

114 Ἀλλὰ γὰρ πάλιν ἐπὶ τὴν ἱστορίαν φέρομαι, καὶ τῶν
but for again to the history I-am-borne and of-the
παλαιῶν τοὺς εὐδοκιμωτάτους ἀνασκοπῶν, εὑρίσκω
old the most-approved surveying I-find
ὅσους πώποτε εἰς ἐπιστασίαν ἢ προφητείαν ἡ
as-many-as ever to superintendence or prophecy the
χάρις προὐβάλετο, τοὺς μὲν εἴξαντας προθύμως
grace put-forward the(-ones) indeed having-yielded eagerly
τῇ κλήσει, τοὺς δὲ ἀναβαλομένους τὸ χάρισμα·
to-the calling the(-others) but having-put-off the gift
καὶ οὐδετέρων μεμπτὴν, οὔτε τῶν ὑποχωρησάντων
and of-neither blameworthy neither of-the(-ones) having-withdrawn
τὴν δειλίαν, οὔτε τῶν ὁρμησάντων τὴν προθυμίαν.
the cowardice nor of-the(-ones) having-rushed the eagerness
Οἱ μὲν γὰρ τῆς διακονίας τὸ μέγεθος ηὐλαβήθησαν·
the(-ones) indeed for of-the ministry the greatness revered
οἱ δὲ τῷ καλοῦντι πιστεύσαντες ἠκολούθησαν.
the(-others) but in-the(-one) calling having-trusted followed

Πρόθυμος ἦν Ἀαρών· ἀλλὰ Μωσῆς ἀπεμάχετο· ὑπήκουσεν
eager was Aaron but Moses fought-against obeyed
Ἡσαΐας ἑτοίμως· ἀλλ᾽ ἐδεδοίκει τὸ νέον Ἱερεμίας, καὶ
Isaiah readily but feared the youth Jeremiah and
οὐ πρότερον τὴν προφητείαν ἐθάῤῥησεν, ἢ παρὰ
not before the prophecy he-dared than from
Θεοῦ λαβεῖν καὶ ὑπόσχεσιν καὶ δύναμιν τῆς ἡλικίας
God to-receive both promise and power than-the age
κρείττονα.
greater
Τούτοις ἐμαυτὸν ἐγὼ κατεπᾴδω τοῖς λογισμοῖς, καί μοι 115
with-these myself I charm-down the reasonings and to-me
κατὰ μικρὸν εἴκει τε καὶ μαλάσσεται, ὥσπερ σίδηρος,
by little yields both and is-softened as iron
ἡ ψυχή· καὶ συνεργὸν λαμβάνω τῶν λογισμῶν τὸν
the soul and as-fellow-worker I-take of-the reasonings the
χρόνον, καὶ συμβουλίαν τὰ τοῦ Θεοῦ δικαιώματα, οἷς
time and as-counsel the — of-God ordinances to-which
πᾶσαν τὴν ἐμαυτοῦ ζωὴν κατεπίστευσα. Διὰ τοῦτο οὐκ
all the my-own life I-entrusted because-of this not
ἀπειθῶ, οὐδὲ ἀντιλέγω, φησὶν ὁ ἐμὸς Δεσπότης, οὐκ ἐπὶ
I-disobey nor do-I-gainsay says the my Master not to
προστασίαν καλούμενος, ἀλλ᾽ ὡς πρόβατον ἐπὶ σφαγὴν
presidency being-called but as sheep to slaughter
ἀγόμενος· ἀλλὰ καὶ προσπίπτω καὶ ταπεινοῦμαι ὑπὸ τὴν
being-led but also I-fall-down and am-humbled under the
κραταιὰν τοῦ Θεοῦ χεῖρα, καὶ συγγνώμην αἰτοῦμαι τῆς
mighty — of-God hand and pardon I-ask for-the
πρὶν ἀργίας καὶ ἀπειθείας, εἴ τί μοι τοῦτο ἔγκλημα.
former idleness and disobedience if at-all to-me this charge
Ἐσιώπησα μὲν, ἀλλ᾽ οὐκ ἀεὶ σιωπήσομαι. Ὑπεχώρησα
I-kept-silent indeed but not always I-will-keep-silent I-withdrew

μέν τι μικρὸν, ὅσον ἐμαυτὸν ἐπισκέψασθαι, καὶ τῇ
indeed some little as-much-as myself to-examine and to-the
λύπῃ δοῦναι παράκλησιν· ἀλλὰ νῦν ὑψοῦν αὐτὸν ἐν
grief to-give consolation but now to-exalt him in
Ἐκκλησίᾳ λαοῦ, καὶ ἐν καθέδρᾳ πρεσβυτέρων αἰνεῖν
Church of-people and in seat of-elders to-praise
ἐδεξάμην. Εἰ ἐκεῖνα κατηγορίας, ταῦτα συγγνώμης
I-accepted if those-things of-accusation these-things of-pardon
ἄξια.
worthy

116 Τί δεῖ μακροτέρων ἡμῖν τῶν λόγων; Ἔχετε ἡμᾶς,
what need of-longer for-us the words you-have us
ὦ ποιμένες καὶ συμποιμένες· ἔχετε, ὦ ποίμνιον ἱερὸν
O shepherds and fellow-shepherds you-have O flock holy
καὶ Χριστοῦ τοῦ ἀρχιποιμένος ἄξιον· ἔχεις, ὦ πάτερ,
and of-Christ the chief-shepherd worthy you-have O father
εἰς πάντα νενικημένον, καὶ κατὰ τοὺς τοῦ Χριστοῦ
in all-things conquered and according-to the — of-Christ
νόμους πλέον ἢ τοὺς ἔξωθεν ὑπεξούσιον. Ἔχεις
laws more than the(-ones) from-outside subject you-have
τὴν εὐπείθειαν, ἀπόδος τὴν εὐλογίαν. Χειραγώγησον καὶ
the obedience give-back the blessing lead-by-the-hand also
σὺ ταῖς εὐχαῖς, ὁδήγησον τῷ λόγῳ, τῷ πνεύματι
you with-the prayers guide by-the word by-the spirit
στήριξον. Εὐλογία πατρὸς στηρίζει οἴκους τέκνων· καὶ
establish blessing of-father establishes houses of-children and
στηριχθείημεν ἐγώ τε καὶ ὁ πνευματικὸς οἶκος οὗτος,
may-we-be-established I both and the spiritual house this
ὃν ἡρετισάμην, ὅν μοι καὶ γενέσθαι κατάπαυσιν εἰς
which I-chose which for-me also to-become rest into
αἰῶνα αἰῶνος εὔχομαι, ἀπὸ τῆς ἐντεῦθεν Ἐκκλησίας ἐπὶ
age of-age I-pray from the here Church to

τὴν ἐκεῖθεν παραπεμφθέντι, καὶ πανήγυριν πρωτοτόκων
the there having-been-escorted and festal-assembly of-firstborn
ἀπογεγραμμένων ἐν οὐρανοῖς.
enrolled in heavens
Ἡ μὲν δὴ πρεσβεία τοσαύτη, καὶ οὕτως εὔλογος· ὁ 117
the indeed indeed intercession so-great and so reasonable —
δὲ Θεὸς τῆς εἰρήνης, ὁ ποιήσας τὰ ἀμφότερα ἓν,
but God of-the peace the(-one) having-made the both one
καὶ ἀποδοὺς ἡμᾶς ἀλλήλοις, ὁ καθίζων βασιλεῖς
and having-given-back us to-one-another the(-one) seating kings
ἐπὶ θρόνων, καὶ ἀπὸ γῆς ἐγείρων πτωχὸν, καὶ ἀπὸ
upon thrones and from earth raising poor and from
κοπρίας ἀνυψῶν πένητα· ὁ ἐκλεξάμενος Δαβὶδ τὸν
dunghill lifting-up needy the(-one) having-chosen David the
δοῦλον αὐτοῦ, καὶ ἀναλαβὼν ἐκ τῶν ποιμνίων τῶν
servant his and having-taken-up from the flocks of-the
προβάτων, ἐλάχιστον ὄντα ἐν τοῖς υἱοῖς Ἰεσσαὶ καὶ
sheep least being among the sons of-Jesse and
νεώτατον· ὁ διδοὺς ῥῆμα τοῖς εὐαγγελιζομένοις
youngest the(-one) giving word to-the(-ones) preaching-the-gospel
δυνάμει πολλῇ πρὸς τὴν τοῦ Εὐαγγελίου τελείωσιν,
with-power much toward the of-the Gospel completion
αὐτὸς κρατήσειε τῆς χειρὸς ἡμῶν τῆς δεξιᾶς, καὶ ἐν
himself may-be-hold the hand our the right and in
τῇ βουλῇ αὐτοῦ ὁδηγήσειε, καὶ μετὰ δόξης προσλάβοιτο,
the counsel his may-be-guide and with glory may-be-receive
ποιμαίνων ποιμαίνοντας, καὶ ὁδηγῶν ὁδηγοῦντας· ὡς ἂν
shepherding shepherds and guiding guides that —
ποιμαίνοιμεν τὸ ποίμνιον αὐτοῦ μετ' ἐπιστήμης, ἀλλὰ
we-may-shepherd the flock his with knowledge but
μὴ ἐν σκεύεσι ποιμένος ἀπείρου, τὸ μὲν ἐν εὐλογίᾳ,
not in implements of-shepherd unskilled the(-one) indeed in blessing

τὸ δὲ ἐν κατάρᾳ τοῖς πάλαι κείμενον· αὐτὸς
the(-other) but in curse for-the(-ones) of-old lying himself
δοίη δύναμιν καὶ κραταίωσιν τῷ λαῷ αὐτοῦ· καὶ
may-he-give power and strength to-the people his and
παραστήσειεν αὐτὸς ἑαυτῷ λαμπρὰν τὴν ποίμνην καὶ
may-present himself to-himself bright the flock and
ἄσπιλον, καὶ τῆς ἄνω μάνδρας ἀξίαν, ἐν τῇ κατοικίᾳ
spotless and of-the above fold worthy in the dwelling
τῶν εὐφραινομένων, ἐν τῇ τῶν ἁγίων λαμπρότητι·
of-the(-ones) rejoicing in the of-the saints brightness
ὡς ἂν ἐν τῷ ναῷ αὐτοῦ πάντες λέγωμεν δόξαν, ποίμνη
that — in the temple his all we-may-say glory flock
τε ὁμοῦ καὶ ποιμένες, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ
both together and shepherds in Christ Jesus the Lord
ἡμῶν· ᾧ πᾶσα δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
our to-whom all glory to the ages of-the ages
Ἀμήν.
amen
